ἢ ὁ ἥμερος. ἢ ἐκ τοῦ ἡδύς, ἀποβολῇ τοῦ δ. ἐξ οὗ τὸ
440 θηλυκὸν, ἠεία· καὶ ἐνηείης, γενική· τὸ οὐδέτερον, ἠΰ. καὶ ἐπίῤῥημα ἠΰτε, ἀντὶ τοῦ καθά· Ἠΰτε ἔθνεα εἶσι: — ἀντὶ τοῦ καθάπερ, ὃν τρόπον. ἐκ τοῦ ὡς γίνεται πῶς. κανών ἐστιν ὁ λέγων, ὅτι τοῖς εἰς ως λήγουσιν ἐπιῤῥήμασι συνυπάρχει τινὰ εἰς η λήγοντα, καὶ ὁμοτονοῦσιν αὐτοῖς· οἷον, ἄλλως, ἄλλῃ· διχῶς, διχῇ· οὐδαμῶς, οὐδαμῇ. ὀξύνεται ἄρχ. τοῦ ὧς ἀντίκειται τὸ ἧ, ὡς ἐν τῷ, — ἧτε ξείνων θέμις ἐστίν: — ἧ θέμις, ἀντὶ τοῦ ὡς νόμος ἐστί. καὶ τοῖς εἰς η λήγουσιν ἐπιῤῥήμασιν ἀντιπαράκειται τινὰ συντονούμενα τούτοις· οἷον πάντως, πάντῃ· ὧς, ἧ. τοῦτο προςθέσει τοῦ τε καὶ πλεονασμῷ τοῦ υ γίνεται ἧυτε. ψιλοῦται· τὸ γὰρ υ πλεοναζόμενον ψιλοῦται. δεῖ δὲ γινώσκειν ἠΰτε ἐν διαστάσει. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η καὶ τὸ υ ἐν μιᾷ συλλαβῇ, χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος, ὡς αὐδῶ, ηὔδων· αὐχῶ, ηὔχουν. ἀναγκαίως οὖν ἡ διάστασις τοῦ ἠΰτε, ὁμοίως τῷ γρηῢς καὶ νηῢς· καὶ τὰ λοιπὰ πλεονασμός ἐστιν.

Ἥφαιστος· ἐπὶ μὲν τοῦ θεοῦ, Ἥφαιστος ποίησ' εἰδυίῃσι πραπίδεσσιν: — ἐπὶ δὲ τοῦ πυρὸς, Σπλάγχνα δ' ἄρ' ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο: — γίνεται παρὰ τὸ ἅπτω ἅψω, ἄψαυστός τις ὤν· τοῦ γὰρ πυρὸς οὐκ ἔστιν ἅψασθαι· καὶ οἱ μὲν φασὶν αὐτὸ σύνθετον εἶναι, ὁ τῇ ἀφῇ αἰστὰ ποιῶν τὰ πάντα· ἐπεὶ τὸ πῦρ πάντα τὰ πελάσαντα καίει· οἱ δὲ, ἁπλοῦν, παρὰ τὴν ἀφὴν, οὗ οὐκ ἔστιν ἅψασθαι. οἱ δὲ Αἰολεῖς ἄφατον αὐτὸ λέγουσιν. ἢ παρὰ τὸν ἧφα παρακείμενον.

Ἦχος, παρὰ τὸ χέω, μετὰ τοῦ ἐπιτατικοῦ α, ἄχος καὶ ἦχος, ἡ εἰς ἀέρα χεομένη φωνή· ἢ παρὰ τὸ αὔω· τὰ γὰρ ξηρὰ ἠχεῖ.

Ἠών, πόλις ἐστὶ Μενδαίων ἀποικία. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Ἠιωρῆσθαι, ἠρτῆσθαι, κρέμασθαι. ἀπὸ τοῦ αἰωρῶ, ὁ παρακείμενος, ἠώρηκα· ὁ παθητικὸς, ἠώρημαι· καὶ τὸ ἀπαρέμφατον, ἠωρῆσθαι. τοῦτο παρὰ τὸ ἀήρ ἀηρῶ· καὶ τροπῇ τοῦ η εἰς ω, καὶ πλεονασμῷ τοῦ ι, αἰωρῶ, καὶ ἀπαιωρῶ.

Ἠώς] παρὰ τὸ αὔω τὸ λάμπω, αὔως· καὶ ἐκβολῇ τοῦ υ, ἄως· καὶ τροπῇ τοῦ α εἰς η, ἠώς. σημαίνει δὲ τέσσαρα· ποτὲ μὲν τὴν σωματοειδῆ θεόν· Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο: — τὸ κατάστημα τῆς ἡμέρας, ὡς τὸ, Ἠὼς μὲν κροκόπεπλος: — ὁτὲ δὲ τὸ ἀπὸ ἀνατολῆς ἕως μεσημβρίας τοῦ ἡλίου διάστημα, ὡς τὸ, Ὄφρα μὲν ἠὼς ἦν: — καὶ, — ἀέξετο ἱερὸν ἦμαρ: — ὁτὲ δὲ τὸ νυκτὸς καὶ ἡμέρας διάστημα, ὡς τὸ, Ἠὼς δέ μοι ἐστὶ δυωδεκάτη ὅτ' ἐς Ἴλιον εἰλήλουθα. διαφέρει δὲ τὸ ἠώς καὶ ἕως κατὰ τρόπους τέσσαρας, κατὰ τόνον, κατὰ κλίσιν, κατὰ χρόνον, καὶ κατὰ πνεῦμα. Ἀττικοὶ μὲν ἕως λέγουσιν, ἀπὸ τοῦ ἕω τὸ πέμπω· ὅτι ἀφίενται τότε τὰ ζῶα· ἢ ἡ ἡμᾶς ἐξιοῦσα καὶ ἐξιέναι ποιοῦσα. Αἰολικῶς δὲ αὔως, ἀπὸ τοῦ αὔω τὸ φωνῶ· αὔει γὰρ τὰ ζῶα, ὅ ἐστι καλεῖ· καὶ αὔουσι πάντα δι' αὐτῆς· καὶ γὰρ κατὰ τοῦτο καὶ τὸν Ἴβυκον εἰρηκέναι κλυτὸν ὄρθρον, τὸν τοῦ κλύειν αἴτιον. ἠώς δὲ ὑπὸ Ἰώνων ἡλιώτης, ἢ τὰ τοῦ ἡλίου ἐκπληροῦσα· ἢ ἡ ἐκ τοῦ ἡλίου γινομένη.

# Θ.

441 Θῆτα τὸ στοιχεῖον, παρὰ τὸ τὴν θέσιν τοῦ παντὸς μιμεῖσθαι· ἤτοι τοῦ οὐρανοῦ τὸ κυκλοτερὲς ἔχον, καὶ τὸν διὰ μέσον ἄξονα τῇ κατὰ τὸ μέσον μακρᾷ ἔχει.

Θαάσσων, ἐγκαθήμενος. Ἰλιάδος ί, — λιπὼν ἕδος ἔνθα θάασσεν: — ἀντὶ τοῦ ὅπου ἐκαθέζετο. ἐκ τοῦ θῶ γίνεται θοάζω· καὶ τροπῇ τοῦ ζ εἰς δύο σσ, θοάσσω· καὶ τροπῇ τοῦ ο εἰς α, θαάσσω. τὸ δὲ θῶ, ἐκ τοῦ θοῶ θοάζω, ὡς βοῶ βοάζω.

Θᾶκος, ὁ καὶ θῶκος καλούμενος, ἡ καθέδρα. παρὰ τὸ θῶ τὸ τιθῶ, θῶκος καὶ θᾶκος, ὁ θρόνος.

Θάλαμος, εἰ μὲν σημαίνει τὸν νέον οἶκον, ἐν ᾧ εἰσέρχεται ἥ τε νύμφη καὶ ὁ νυμφίος, γίνεται παρὰ τὸ θάλλω· δεῖ γὰρ ἐν αὐτῷ θάλλοντα εἰσιέναι σώματα, τουτέστιν ἀκμάζοντα καὶ μὴ ἀπεσβηκότα. εἰ δὲ σημαίνει τὴν οἰκίαν, γίνεται παρὰ τὸ θάλπω τὸ θερμαίνω, θαλπαμός τις ὤν. Ἰστέον ὅτι θάλαμος μέν ἐστιν ὁ ἔσω τῆς αὐλῆς μικρός· τὸ δὲ πρὸ αὐτοῦ, πρόδομος· αἴθουσα δὲ, ἡ πρὸς ἥλιον τετραμμένη, ἀπὸ τοῦ αἴθεσθαι. θάλαμος οὖν, ὁ κοιτών, ὁ οἶκος· καὶ θαλαμηπόλος, ἡ περὶ τὸν θάλαμον ἀναστρεφομένη.

Θαλαμίδιοι κῶπαι, αἱ ἠρέμα ἐλαύνουσαι. ὁ κατώτατος ἐρέτης, θαλάμιος λέγεται· ὁ δὲ μέσος, μεσοζύγιος· ὁ δὲ ἀνώτατος, θρανίτης.

Θάλασσα] παρὰ τὸν σάλον, σάλασσα καὶ θάλασσα, μεταθέσει τοῦ σ εἰς θ, ὡς ὀρχησμός, ὀρχηθμός. ἢ παρὰ τὸ ἆσσον εἶναι θανάτου, γίνεται θάνασσα, καὶ θάλασσα. ἢ παρὰ τὴν ἁλὸς γενικὴν, ἅλασσα· καὶ πλεονασμῷ τοῦ θ, θάλασσα. ἢ παρὰ τὸ τείνω, ἐκ τοῦ ἐπιτεταμένην ἔχειν τὴν ὁδόν.

Θαλερός, ὁ ἐν ἀκμῇ ὢν τοῦ θάλλειν, ὁ ἀκμάζων νέος· καὶ θαλερὸν δάκρυ, τὸ ἁπαλόν· καὶ θαλεροί, δίϋγροι, ἀκμαῖοι, νέοι· παρὰ τὸ θάλλω τὸ αὔξω· τοῦτο παρὰ τὸ θῶ τὸ τρέφω· ἀπὸ μεταφορᾶς τῆς τῶν ἀνθρώπων φύσεως· ὁ γὰρ θηλῆς μαστοῦ μετέχων ἄνεισιν εἰς αὔξησιν. σημαίνει έ· τὸ οἰκτρόν, ὡς τὸ, — θαλερὸν κατὰ δάκρυ χέουσα: — τὸν ἀκμαῖον, ὡς τὸ, — θαλεροί τ' αἰζηοί: — τοὺς καλοὺς καὶ ὡραίους, ὡς τὸ, — θαλερῷ πεπλήγετο μηρῷ: — τοὺς ἀγαπητοὺς, ὡς τὸ, Τάων ἐν κονίῃσι βάλες θαλεροὺς παρακοίτας: — τὸ πολύ, ὡς τὸ, — θαλερὴ δέ οἱ ἔσχετο φωνή.

Θάλλω] παρὰ τὸ θῶ τὸ τρέχω, παράγωγον θάλλω· καὶ γὰρ τὸ τρεφόμενον αὔξει. ἡ μεταφορὰ ἀπὸ τῆς τῶν ἀνθρώπων φύσεως· θηλῆς γὰρ μεταλαμβάνουσι καὶ εἰς αὔξησιν ἀνίασι· καταχρηστικῶς δὲ ἐπὶ πάντων τὸ τρέφεσθαι καὶ αὔξεσθαι θάλλειν εἴρηκε. καὶ θαλλὸν λέγει τὸν στέφανον τὸν τῆς ἐλαίας· οὐ μόνον δὲ τὸν τῆς ἐλαίας, ἀλλὰ καὶ πᾶν ὃ θάλλει. Ἀρχίλοχος, Ἔχουσα θαλλὸν μυῤῥίνης ἐτέρπετο.

Θαλλοφόρος, ὁ πομπεύων Ἀθήνησι τοῖς παναθηναίοις, καὶ ἐλαίας κλάδον φέρων. λέγουσι δὲ καὶ γέροντας θαλλοφόρους, πρὸς οὐδὲν ἄλλο χρησίμους ἢ πρὸς τὸ θαλλὸν φέρειν.

Θαλία] — τρέφεται θαλίῃ ἐνὶ πολλῇ, Ἰλιάδος ί, ἀντὶ τοῦ ἐν πολλῇ εὐωχίᾳ, ἐν πολλοῖς ἀγαθοῖς· παρὰ τὸ θάλλειν τοὺς εὐωχουμένους. καὶ Ἰλιάδος θ', — τίθεντο δὲ δαῖτα θάλειαν: — τὴν θάλλουσαν τοῖς ἀγαθοῖς. 442
παρὰ τὸ θάλλω οὖν, θάλεια, ἐπὶ τοῦ θάλλειν, διὰ διφθόγγου· προςκειμένου καὶ τοῦ, δαὶς θάλεια· καὶ, — δαιτὶ συνήορός ἐστι θαλείῃ, τῇ εὐθηνίαν ἐχούσῃ. ἐπὶ δὲ τῆς εὐωχίας αὐτῆς, διὰ τοῦ ι.

Θαλῆ· ἡνίκα μὲν περισπᾶται, εἰς ου ἔχει τὴν γενικὴν, Θαλῆς, Θαλοῦ, Θαλῇ· Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν; Ἀριστοφάνης· ἡνίκα δὲ βαρύνεται, διὰ τοῦ τος κλίνεται τῷ λόγῳ τῶν ἰαμβικῶν, ὡς παρὰ Καλλιμάχῳ. Πολὺ τὸ δῶρον, ἐς Θάλητα ὤλισθεν. ἔστι δὲ χορίαμβος· τροχαῖον γὰρ ἔχει ἐν τῷ ἕκτῳ ποδί.

Θαλύσια, τὰς ὑπὲρ εὐθαλίας καὶ εὐφορίας τῶν καρπῶν διδομένας θυσίας μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν τοῖς τε ἄλλοις θεοῖς καὶ τῇ Δημήτρᾳ.

Θαλπωρή, χαρά, ἡδονή, παραμυθία· ἐκ τοῦ θάλπω.

Θάλπη, παρὰ τὸ θάλπειν, ἢ παρὰ τὸ θάλος.

Θαμά, ἐπίῤῥημα, τὸ πυκνῶς καὶ συνεχῶς, ἐκ τοῦ ἅμα, πλεονασμῷ τοῦ θ. τὸ γὰρ πυκνῶς γινόμενον ὑφ' ἕνα καιρὸν γίνεται. ἐκ δὲ τοῦ θαμά, γίνεται θαμίζει, πυκνῶς ἔρχεται, καὶ ἐνδελεχεῖ, πυκνάζει· ἢ ἀντὶ τοῦ ὁμιλεῖ. ζήτει εἰς τὸ ἅμα.

Θαμνάς, ἡ ῥίζα· ὅτι καὶ αὐτὴ ἔγκειται τῇ γῇ· ἀπὸ τῆς θέσεως. καὶ θάμνος, ὁ σύνδενδρος τόπος.

Θάμβος, σημαίνει τὴν ἔκπληξιν. εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι εἰδικοῦ· τὸ γενικὸν, Φόβος. γίνεται παρὰ τὸ θάπος, πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ π εἰς μ, διὰ τὸ ἀσύντακτον· τὸ δὲ θάπος, παρὰ τὸ θήπω.

Θάνατος] παρὰ τὸ τείνω τὸ τανύω τάνατος καὶ θάνατος, ὁ τείνων τὰ σώματα τῇ ψύξει· ἢ ὅτι τανaός ἐστιν, ὁ ἐπὶ πάντας ἑαυτὸν διατείνων. ἢ παρὰ τὸ θεῖν ἄνω τὰς ψυχάς. ἢ θενῶτός τις ὤν, διὰ τὸ ἐπὶ τὰ νῶτα τίθεσθαι τὸν τεθνεῶτα. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄνευ ἄτης τὸν τεθνεῶτα εἶναι· θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις· παρὰ τὴν ἄτην τὴν βλάβην, ἄνατος καὶ θάνατος· ὁ ἄνευ βλάβης μένων ἀποθανών. — Ἴθι πρηεῖα γυναικῶν Τὴν ὁδὸν ἣν ἀνίαι θυμοφθόροι οὐ περόωσι, Καλλίμαχος. Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων· ἔστι ῥῆμα θῶ τὸ ἀποτίθεμαι· πλεονασμῷ τοῦ ν, θνῶ· καὶ θνῶν ἡ μετοχὴ ἀκολούθως· πλεονασμῷ τοῦ α, θανῶ· ὁ μέλλων, θανήσω· ῥηματικὸν ὄνομα, θανητός· μετὰ συστολῆς τοῦ η εἰς α, ἀνεδόθη ὁ τόνος, καὶ ἐγένετο θάνατος, ὁ τὴν αἰωνίαν δηλῶν ἀπόθεσιν.

Θανατῶ, ὅτε μέν ἐστιν ἁπλοῦν, ἔστι τρίτης συζυγίας τῶν περισπωμένων· οἷον, θανατῶ, θανατοῖς· καὶ σημαίνει τὸ φονεύω· ὅτε δὲ σύνθετον, δευτέρας, οἷον, δυςθανατῶ, δυςθανατᾷς· ὥςπερ καὶ τὸ δοκῶ, ἁπλοῦν μὲν, πρώτης· οἷον, δοκῶ, δοκεῖς· σύνθετον δὲ, δευτέρας· οἷον, προςδοκῶ, προςδοκᾷς. ὅτε δὲ τὸ θανατῶ δευτέρας συζυγίας, σημαίνει τὸ ἐπιθυμῶ ἀποθανεῖν· Ἰώσηπος, Ἀνδρὶ θανατῶντι μὴ συμπλέκεσθαι: — ἤγουν ἀνδρὶ ἐπιθυμοῦντι καὶ προαιρουμένῳ ἀποθανεῖν μὴ προςβαλέσθαι εἰς μάχην. καὶ Λιβάνιος, Ποῦ δὴ καὶ ἐπὶ τούτῳ θανατᾷν;

Θάπτω] ὡς παρὰ τὸ βῶ γίνεται βάπτω, οὕτω καὶ παρὰ
443 τὸ θῶ τὸ τίθημι γίνεται θάπτω· αἴδιον γὰρ ἔχουσι
τὴν ἀπόθεσιν οἱ θαπτόμενοι.

Θάρσος, παρὰ τὸ θέρω τὸ θερμαίνω, ὁ μέλλων Αἰολικῶς, θέρσω· ῥηματικὸν ὄνομα, θέρσος· καὶ τροπῇ τοῦ ε εἰς α, θάρσος· ἀφ' οὗ καὶ θρασεῖς, καθ' ὑπέρθεσιν τοῦ ρ· οἱ γὰρ θερμοὶ, καὶ θρασεῖς· καὶ θαρσαλέος, ὁ ἀνδρεῖος.

Θάσος, πόλις· ἀπὸ τοῦ δάσος· ὅτι κάρπιμός ἐστιν ἡ γῆ. καὶ τὸν Κικόνιον οἶνον, ὃν καὶ Ὅμηρος συνίστησιν ἥδιστον εἶναι, τοῦτον οἱ Ἕλληνες Θάσιον ὠνόμασαν, διὰ τὸ ἐπικεῖσθαι τῇ νήσῳ Θάσῳ.

Θάσια, τὰ ἀμύγδαλα· ἀπὸ τοῦ θᾶσσον τὸν καρπὸν προϊέναι· πρώϊμα γὰρ ὑπὲρ τὰ λοιπὰ δένδρα.

Θάσσονας ἰρήκων, ἀντὶ τοῦ ταχυτέρους τῶν ἱεράκων, Ἰλιάδος ν'. καὶ θᾶσσον, τὸ ταχέως, ἀπὸ τοῦ ταχύς παρήχθη· ὁ πρῶτος τύπος, ταχύτερος· ὁ δεύτερος, ταχίων· ὁ τρίτος, τάσσων· καὶ τροπῇ, θάσσων, καὶ θάττων. ἀντιστοιχεῖ γὰρ τὰ δασέα τοῖς ψιλοῖς, θ, τ.

Θαργηλία, ἑορτὴ Ἀθήνησιν· ὀνομάζεται ἀπὸ τῶν θαργηλίων· θαργήλια δέ εἰσι πάντες οἱ ἀπὸ γῆς καρποί· ἄγεται δὲ μηνὶ θαργηλιῶνι, Ἀρτέμιδος καὶ Ἀπόλλωνος. θαργηλιὼν δὲ, ὁ ἑνδέκατος μὴν ὀνομάζεται· ἐπεὶ τότε ὁ ἥλιος πυρώδης ἐστὶ, καὶ ἐν τούτῳ τῷ μηνὶ τὰ τῆς γῆς ἄνθη ἀνεξηραίνετο. ἀπὸ τοῦ θέρειν οὖν τὴν γῆν· τὸ δὲ θερμὸν, θάργηλον ὠνόμασται. ἔστι δὲ καὶ Θαργήλεια, Ἀγησαγόρου θυγάτηρ, βασιλεύσασα Θεσσαλῶν τριάκοντα ἔτη.

Θάτερον, παρὰ τὸ ἅτερον· Δώριον· τὸ γὰρ ἕτερος, ἅτερος λέγουσιν οἱ Δωριεῖς, ὡς τρέχω τράχω. οὕτως οὖν καὶ τὰ ἅτερα, θάτερα, κατὰ συναίρεσιν τῶν δύο αα εἰς α· καὶ τὸ ἅτερον θάτερον, ὡς τὸ ἀγαθόν τἀγαθόν. ἔμεινε δὲ τὸ τ ἄτρεπτον· ἐπειδὴ ψιλοῦται τὸ ἀγαθόν· τὸ ἅτερον δὲ, δασύνεται. εἰ γὰρ ἦν παρὰ τὸ ἕτερον, θοὔτερον ἂν ἦν, ὡς τὸ ἔλαιον, τοὔλαιον· διὸ καὶ οὐ λέγεται θάτερον ἐπὶ ἀρσενικοῦ ὀνόματος, ἀλλ' ἅτερος.

Θαρσεῖς· ἀπὸ τοῦ Ταρσεύς ἐτυμολογεῖται, καθὼς παρὰ Θεοδωρήτῳ ἀνέγνων.

Θαῦμα ἐθαυμάστωσας: — ἐκ τοῦ θαυμαστῶ· τοῦτο, παρὰ τὸ θαυμαστός· τοῦτο, παρὰ τὸ θαυμάζω· τοῦτο, παρὰ τὸ θαῦμα· τοῦτο, παρὰ τὸ θεῶ, θεάσω, τεθέακα, τεθέαμαι, θέαμα, καὶ θαῦμα κατὰ κρᾶσιν. ἢ παρὰ τὸ θαυμάζω θαυμάσω, γίνεται θαύμασμα· καὶ κατ' ἔνδειαν τοῦ σ, καὶ ἀποκοπῇ, θαῦμα.

Θαυμάσαι, παρὰ τὸ διὰ θεάματος ἐκπληττόμενον ἐκφωνεῖν καὶ αὖσαι· οἷον, θέαμα αὖσαι· ὑπερθέσει τοῦ υ, καὶ κατὰ συναλοιφὴν, θαυμάσαι. εἰ μὲν σημαίνει τὸ ἐπαινῶ, γενικῇ συντάσσεται· εἰ δὲ τὸ καταγινώσκω, αἰτιατικῇ. ἢ θαῦμα, παρὰ τὸ θέειν ἅμα.

Θαυμᾶς. τὸ Θωμᾶς ὑποκοριστικώτερον ἂν εἴη ἐκ τοῦ θαυμάσιος. τὸ γὰρ θαῦμα, θῶμα λέγεται.

Θαυμάλωπες, οἱ ἡμίφλεκτοι ἄνθρακες· θάψαι γὰρ τὸ καῦσαι.

Θαύμακτρον, παρὰ τὸ θαυμάζω· οὗ τὸν μέλλοντα οἱ Δωριεῖς θαυμάξω λέγουσι. Σώφρων, Φέρε τὸ θαύμακτρον, κἀπιθυσιῶμες: — καὶ τὸ ζύγαστρον, παρὰ τὸ ζυγάσω ἐνήνεκται παρὰ τῷ ποιητῇ, ὡς καὶ παρὰ Ἀντιμάχῳ τὸ δεπάζω, δέπαστρον· οἷον, Πλῆσεν δ' ἄρ' ἐπιστράψας δέπαστρον: — οὐχ ὑγιῶς ἐχρήσατο τῷ σημαινομένῳ· ἐθήκαμεν γὰρ ἐπὶ τοῦ ποτηρίου τὴν λέξιν, 444
τὸ δεπαζόμενον· αὐτὸς δὲ ἀντὶ τοῦ δεπάζοντος, ὡς εἰ πινόμενον εἰρήκει ἀντὶ τοῦ πίνοντος.

Θαιροί, οἱ στροφεῖς· ἀπὸ τοῦ δι' αὐτῶν θεῖν τὰς θύρας· Ἰλιάδος μ', Ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς: — τοὺς στρόφιγγας.

Θέα, ἡ θεωρία· παρὰ τὸ θέω, θεῶμαι· σημαίνει δὲ τὸ θεωρῶ. βαρύνεται δὲ πρὸς ἀντιδιαστολὴν τοῦ θεά ἐπὶ τῆς θεοῦ· ὅπερ ἐκ τοῦ θεός γίνεται· ὥςπερ καὶ θόλος, τὸ οἰκοδόμημα· θολός δὲ, τὸ μέλαν τῆς σηπίας.

Θέαινα] παρὰ τὸ θέων θέαινα, ὡς παρὰ τὸ Λάκων Λάκαινα· τὸ δὲ θέων, παρὰ τὸ θεός.

Θεαιδέστατος, θεοῦ ἰδέαν ἔχων. εἶπε δὲ Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας οὕτως· Ἄνθρωπος ὃς (φησὶ) πάντων θηρίων θεαιδέστατος γέγονε.

Θεατροκοράσια, ὀχλοκοράσια. θέαν παρ' αἴγειρον, τὴν πόῤῥωθεν λέγει· αἴγειρος γὰρ ἦν τῶν ἰκρίων πλησίον.

Θέειον] ἐκ τοῦ θεῶ, θέειον.

Θεήλατος, παρὰ τὸ θεός καὶ τὸ ἐλάω ἐλῶ, ὁ ὑπὸ θεοῦ πεμφθείς. διχῶς γὰρ γίνεται ἡ τροπὴ τῶν φωνηέντων· ἢ γὰρ τὸ μακρὸν εἰς μακρὸν, ὡς ἁμαρτηλός, ἁμαρτωλός· ἢ τὸ μακρὸν εἰς βραχὺ, ὡς νεώς ναός· ἢ τὸ βραχὺ εἰς βραχὺ, ὡς ἐν τῷ Αἴαντι, Αἴαντα· ἢ τὸ βραχὺ εἰς μακρὸν, ὡς θεοτόκος, θεητόκος.

* Θεημοσύνη, ἡ θεότης.

Θεηπολεῖν, θεῶν εἰκόνας ἔχοντας περιπολεῖν.

Θεαρχικώτατος] ἔστι θεὸς καὶ ἄρχων· ἐκ τούτων γίνεται θεαρχικὸς, κτητικόν· τὸ ὑπερθετικὸν, θεαρχικώτατος.

Θέλημα] ἀπὸ τοῦ θέλω, θελήσω, τεθέληκα, τεθέλημαι, θέλημα. τοῦ δὲ θέλω ὁ μέλλων περιττοσυλλαβεῖ· τὰ γὰρ δι' ἑνὸς λ ἐκφερόμενα βαρύτονα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται ὡς βαρύτονα· ἀπὸ δὲ τοῦ μέλλοντος, ὡς περισπώμενα· διότι τὸ ἓν λ χαρακτηριστικόν ἐστι περισπωμένου μέλλοντος· καὶ τὰ χαρακτηριστικὰ τοῦ περισπωμένου μέλλοντος οὐ δύναται εἶναι χαρακτηριστικὰ βαρυτόνου ἐνεστῶτος· καὶ διὰ τὰ φθάσαντα γενέσθαι βαρύτονα δι' ἑνὸς λ ἀνεμερίσαντο τὴν κλίσιν· οἱ γὰρ βαρύτονοι ἐνεστῶτες διὰ δύο λλ ἐκφέρονται· οἷον, ψάλλω, τίλλω, ποικίλλω. τὰ γὰρ ἔχοντα δύο λλ ἢ δύο σσ χαίρουσι τῇ βαρυτόνῳ τάσει· χωρὶς εἰ μὴ ἔχει ὄνομα προϋποκείμενον, ὡς τὸ λυσσῶ. τὰ δὲ ἔχοντα ἓν λ ἢ σ χαίρουσι περισπᾶσθαι. οὐδέποτε δὲ βαρύτονος ἐνεστὼς ὀφείλει δι' ἑνὸς ἐκφέρεσθαι· διότι ἀεὶ ἡ πέμπτη συζυγία τῶν βαρυτόνων μακρᾷ θέλει παραλήγεσθαι, ἢ φύσει, ἢ θέσει. θέλω οὖν, θελήσω· καὶ μέλω, μελήσω. τὰ διὰ τοῦ ελω ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται, πέλω, κέλω, φέλω, θέλω· τὸ δ' ἐθέλω, ζῶ, πλουτῶ, ὑπάρχω, οὐδετέρας ἐστὶ διαθέσεως· διότι οὔτ' ἐνέργειαν οὔτε πάθος δηλοῖ.

Θελήσω, μέλλων, ὡς ἀπὸ περισπωμένου τοῦ θελῶ. ἐκ τοῦ θελήσω γίνεται θελησμός· καὶ ἀποβολῇ τοῦ σ, θελημός, ὡς μελήσω μελησμός καὶ μελημός.

Θέλγοντι, εὐφραίνοντι, ἢ ἀπατῶντι. παρ' Ὁμήρῳ δὲ σημαίνει τὸ σκοτίζω, ὡς τὸ, — Ἀχαιῶν θέλγε νόον: — καὶ, — Ἀχαιῶν ὄμματα θέλγεν.

445 Θέλγει, ἀγαπᾷ, θάλπει· ἢ ἀπατᾷ, ἀμαυροῖ, κακοῖ, σκοτοῖ. θέλγειν κυρίως ἐστὶν, εἰς ὃ θέλει τὶς ἄγειν τινά· ὅθεν καὶ θελκτήρια πολλαχῶς, τὰ ᾄσματα ἀπὸ τῶν ᾠδῶν, ἃ τοὺς ἀκούοντας θέλγει καὶ ἄγει εἰς τέρψιν· διὸ καὶ ἡ Πηνελόπη τὰς ᾠδὰς θελκτήρια εἶπε· Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας: — καὶ ἡ Κίρκη Ὀδυσσεῖ φαρμαχθέντι λέγει, Θαῦμα μ' ἔχει ὡς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης: — Ἐνομίδης δὲ ὁ τὰ θεῖα γράψας, καὶ τοὺς τελχῖνας ἐτυμολογήσας εἶπεν, ὅτι θελγῖνες ἦσαν.

Θέμα] ἀπὸ τοῦ τίθημι, θήσω, τέθεικα, τέθειμαι· κατὰ ἔλλειψιν, τέμαι· ἐκβολῇ τῇ ι, τέμα· καὶ τροπῇ, θέμα.

Θέμις, δηλοῖ καὶ τὸ πρέπον καὶ τὴν σωματικὴν θεάν. γίνεται παρὰ τὸν θεσμὸν, θέσμις· καὶ ἀποβολῇ του σ. τὸ δὲ θεσμός ὄνομα, ἀπὸ τῆς θέσεως. ἕκαστος γὰρ νομοθέτης, ὡς ἐβούλετο, ἐτίθετο τοὺς νόμους. ἐκ τοῦ θεσμὸς οὖν, ὃ σημαίνει τὸν νόμον, γίνεται θέμις· ἐκ τοῦ τίθημι, θεμός καὶ θεσμός, καὶ θέσμις καὶ θέμις. κλίνεται θέμιδος· καὶ Δωρικῶς, θέμιτος· καὶ πλεονασμῷ τοῦ σ, θέμιστος. Ὅμηρος, — οἵ τε θέμιστας Πρὸς Διὸς εἰρύαται: — τὰς δίκας (ἤτοι τοὺς νόμους) ῥύονται καὶ φυλάττουσι.

Θεμιστεύων, ἀντὶ τοῦ χρησμῳδῶν· Λυσίας· ἀπὸ γὰρ τοῦ Θέμιν ποτὲ ἐσχηκέναι τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος. ἢ ἄρξαντος, δικάσαντος. Οὔ σε θεμιστεύω· περικαλλέος ἔξιθι ναοῦ.

Θεμισκύρειον ὑπ' ἄκρην Μύρεται εὐρείης διείμενος ἠπείροιο: — ὅτι Θερμώδων ποταμός ἐστι περιῤῥέων τὴν Ἀμαζόνων χώραν. ἔστι δὲ καὶ ἕτερος Βοιωτίας. τρεῖς δὲ πόλεις εἰσὶν, ἔνθα κατῴκουν αἱ Ἀμαζόνες. Ἀπολλώνιος, Ἔνθα Θεμισκύρειαι Ἀμαζόνες ὡπλίζοντο.

Θεμῶ] — θέμωσε δὲ χέρσον ἱκέσθαι: — ἤγγισε· καὶ τὸ θαμίζειν, ἐγγίζειν. ἔνιοι δὲ, ἐποίησε· παρὰ τὸ θεῖναι.

Θέμεθλα, τὰ ἐσώτερα μέρη.

Θεμείλια] παρὰ τὸ δέμω ἢ δομῶ τὸ οἰκοδομῶ, γίνεται δεμέλιον καὶ θεμέλιον· καὶ πλεονασμῷ τοῦ ι, θεμείλιον.

Θέναρ, τὸ κοῖλον τῆς χειρός· παρὰ τὸ σθένος· ἢ παρὰ τὸ θέσεως εἶναι χωρίον, εἰς ὃ ἐντίθεται τὰ διδόμενα. ἢ παρὰ τὸ θείνω, παρὰ τὸ θένειν καὶ τύπτειν ἐν αὐτῷ τῷ μέρει· καὶ δι' αὐτοῦ γὰρ πληγὴ γίνεται.

Θεός, παρὰ τὸ θέω τὸ τρέχω, εἰς ὃν πάντες τρέχομεν. παρὰ τὸ θέω καὶ θεύω, θεός, ὡς φωλεύω φωλεός· οἱ γὰρ ἀρχαῖοι, ὡς ἐπιτοπλεῖστον, ἐπὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων (ἀστατοῦσι γὰρ) ἐτίθεσαν τὸ ὄνομα· παρὰ τὸ ἀεὶ θεῖν καὶ κινεῖσθαι. καὶ ἐπὶ τοῦ χωρὶς τούτων λεγομένου θεοῦ λέγοιτ' ἄν, παρὰ τὸ πανταχοῦ εἶναι καὶ περιθεῖν· ἢ παρὰ τὸ θῶ τὸ κατασκευάζω καὶ ποιῶ, ὁ πάντων ποιητής, καὶ τῆς τῶν πάντων κατασκευῆς αἴτιος, γίνεται θός καὶ θεός.

Θεοστιβής, ὁ ὑπὸ τοῦ θεοῦ πατούμενος. ἐκ τοῦ θεὸς καὶ τοῦ στείβω τὸ περιπατῶ, γίνεται στιβὴς καὶ θεοστιβής.

Θεοδμήτων ἐπὶ πύργων, τῶν ὑπὸ θεοῦ ᾠκοδομημένων. παρὰ γὰρ Ποσειδῶνος καὶ Ἀπόλλωνος ᾠκοδομήθη. Ἀπολλώνιος.

Θεοκλυτήσαντες, θεοῦ ἀκούσαντες· καὶ θεοκλυτοῦσιν, ὡς θεοὺς ἐπικαλοῦνται· παρὰ τὸ θεὸς καὶ τὸ κλύω τὸ καλῶ.

Θεοπρόπιον, τὸ ἐκ θεοῦ μάντευμα· ἢ τὸ θεοῖς πρέπον· 446
οὗτοι γὰρ, ὡς πάντα ἐπιστάμενοι, λέγουσι τὰ τοῖς ἀνθρώποις ἠγνοημένα· οἱονεὶ θεοπρέπιόν τι ὄν. ἢ θεοπροέπεον, τὸ ἐκ θεοῦ προλεγόμενον. καὶ θεοπροπία, θηλυκόν. παρὰ τὸ ἔπω τὸ λέγω, γίνεται ἔπιον, ὡς λέγω, λόγιον· καὶ μετὰ τῆς πρὸ, γίνεται προέπιον· συγκοπῇ, πρόπιον· καὶ μετὰ τοῦ θεὸς, θεοπρόπιον.

Θεοπρόπος, ἐκ τοῦ θεὸς καὶ τοῦ πρέπω τὸ λέγω, ὁ τὰ ἐκ θεοῦ προλέγων. ἐκ τοῦ θεοπρόπος, γίνεται θεοπροπῶ, πρώτης συζυγίας τῶν περισπωμένων· καὶ θεοπροπέων, μετοχὴ, ὥσπερ τὸ κοιρανέων.

* Θεόσσυτος, ἀπὸ τοῦ θεοῦ ἐσσυμένος· παρὰ τὸ σεύω καὶ θεός.

Θεούπολις, ἡ μεγάλη Ἀντιόχεια ἐκαλεῖτο, ἀπὸ θεοδοσίου τοῦ μεγάλου Ἰουστίνου.

Θεουδής, ὁ θεοσεβής. οὐκ ἔστιν (ὥς τινες φασί) θεοαδής παρὰ τὸ ἅδειν, ὅ ἐστιν ἀρέσκειν τῷ θεῷ· τὸ γὰρ ο καὶ α εἰς ω ποιοῦσι κρᾶσιν, ὁ ἄριστος, ὥριστος· ἀλλὰ παρὰ τὸ ἔδος θεοεδής, ὁ τὰ ἕδη τῶν θεῶν σέβων, τουτέστι τὰς συνεδρίας· καὶ κράσει, θεουδής, ὡς τὸ ἐμὸν, τοὐμόν. θεός δὲ, παρὰ τὸ τεθεικέναι τὰ πάντα· ἢ παρὰ τὸ τὰ πάντα θεάσασθαι· ἢ παρὰ τὸ θῶ τὸ κατασκευάζω καὶ ποιῶ, ὁ πάντων ποιητής, καὶ τῆς τῶν πάντων κτίσεως αἴτιος, γίνεται θός· καὶ ἐπεὶ οὐδέποτε μονοσύλλαβον ὄνομα βραχυκαταληκτεῖ, πλὴν τοῦ τὶς, πλεονασμῷ τοῦ ε, γίνεται θεός· ἢ παρὰ τὸ θεῶ τὸ ὁρῶ, ὁ πάντων ἔφορος· ἢ παρὰ τὸ θέω τὸ τρέχω, ὁ πανταχοῦ παρών. τὰ διὰ τοῦ αιος ὀξύτονα δισύλλαβα διὰ τῆς αι διφθόγγου γράφεται, πλὴν τοῦ θεός. η καὶ τὰ ἀπὸ τῆς θε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται, πλὴν τοῦ θαιρός, ὃ σημαίνει τὴν στρόφιγγα. ὡς τὸ, Ὁ θεὸς ἀπὸ Θεμὰν ἥξει: — θέλει δὲ βαρυνε-

σθαι . . . . τὰ εἰς ος καθαρὸν λήγοντα, παραληγόμενα τῷ ε ἢ τῷ ο, ἀρχόμενα ἀπὸ συμφώνου μὴ τοῦ θ, βαρύνεται, πλόος, νόος, γόος. τὸ θρόος οὐκ ἀπὸ τοῦ κοινοῦ θ. θοός δὲ καὶ θεός, ὀξύνεται.

Θέμενος τὰ ὅπλα, ἀντὶ τοῦ περιθέμενος. θέμενος καὶ ὁ ἐνέχυρον θείς, καὶ ὁ λαβών τι σκεῦος εἰς ὑποθήκην.

Θεοίνιον, ἱερὸν Διονύσου.

Θεράπων, δοῦλος, ὑπηρέτης· παρὰ τὸ θεραπεύειν τὸν κρείττονα. παρὰ τὸ θείνω τὸ τύπτω, γίνεται θενάπων, καὶ θεράπων.

Θεράποντας, οὐχ ὥςπερ οἱ νεώτεροι, δούλους, ἀλλὰ πάντας τοὺς θεραπευτικῶς ἔχοντας, ὡς, — Δαναοὶ θεράποντες Ἄρηος: — καὶ τὸν ἐν δευτέρᾳ τάξει φίλον, ὡς Πάτροκλος Ἀχιλλέως θεράπων.

Θεραπναῖον] — κλεῖον δὲ Θεραπναῖον Διὸς υἷα, Ἀπολλώνιος, τὸν Πολυδεύκην· ὅτι Λακεδαιμόνιος· Θεράπνη δὲ, πόλις Λακεδαιμονίας.

Θέρος, παρὰ τὸ θέρω τὸ θερμαίνω, (ἐξ οὗ καὶ θέρεται, τὸ θερμαίνεται) τὸ ἐν καιρῷ τοιούτῳ ὄν, ἢ παρὰ τὸ θέρειν καὶ θερμαίνειν. τὸ δὲ θέρω, παρὰ τὸ θέω τὸ τρέχω, πλεονασμῷ τοῦ ρ· τὸ γὰρ ταχὺ, καὶ θερμὸν εἶναι λέγεται. θέρος καὶ οἱ συγκομιζόμενοι καρποὶ τῶν σπερμάτων παρὰ τοῖς ῥήτορσι.

Θέρεια ὥρα, σημαίνει τὸν καιρὸν τοῦ θέρους. παρὰ τὸ 447 θέρω θέρεια, ὡς παρὰ τὸ θάλλω θάλεια· ἢ ἐκ τοῦ θέρειος κτητικοῦ, τὸ θηλυκὸν, θέρεια.

Θερειτάτη ἵσταται ἀκτίς, Νίκανδρος. παρὰ τὸ θέρειος. οὐδέποτε γὰρ ἀπὸ τῶν εἰς ος οὐδετέρων σχηματίζεται συγκριτικόν. παρὰ τὸ θέρος οὖν γίνεται κτητικὸν θέρειος, ὡς τέλος, τέλειος· ὑπερθετικὸν, θερειότατος, θερειοτάτη· καὶ συγκοπῇ, θερειτάτη. Ἦμος ὅτ' ἠελίοιο θερείταταί εἰσι κέλευθοι, Ἄρατος.

Θερείβοτον, σημαίνει τὸν τόπον τὸν ἔχοντα ἐν τῷ θέρει βοσκάς. θέρος θέρους· ἡ δοτικὴ, θέρει· καὶ μετὰ τοῦ βοτοῦ, ὃ σημαίνει τὴν βόσκησιν.

* Θερμερῶπις, θερμαίνουσα τὸν ὦπα· ἐπίθετον τῆς αἰδοῦς, παρὰ Αἰσχύλῳ.

Θερήγανον, ἡ ἅμαξα· παρὰ τὸ τὰ θέρη ἄγειν.

Θερμός] παρὰ τὸ θέρω τὸ θερμαίνω, γίνεται θερμός, ὡς εἴρω, εἰρμός. ἢ ἀπὸ τοῦ θέρμω βαρυτόνου· ὅθεν τὸ, — θέρμετο δ' ὕδωρ.

Θερμοπύλαι] ἔνιοι μὲν τὴν πόλιν ταύτην Πύλον καλοῦσι· Φιλέας δὲ Θερμοπύλας λέγει καλεῖσθαι, ἐπεὶ ἐκεῖ ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ Ἡρακλεῖ ἐποίησε.

Θερσίτης] παρὰ τὸ θέρω τὸ θερμαίνω, ὁ μέλλων Αἰολικῶς, θέρσω, γίνεται Θερσίτης, ὁ θερμαντικὸς ἐν τῷ λέγειν· θερμὸς γὰρ καὶ προπετής. ἢ παρὰ τὸ θάρσος, ὃ οἱ Αἰολεῖς θέρσος λέγουσιν· οἱονεὶ ὁ εὔτολμος, κατὰ ἀντίφρασιν, τουτέστιν ὁ ἀσθενής· ἢ ὁ θάρσος ἔχων ἐν τῷ ὑβρίζειν. τὸ σι, ι. διατί; ὡς παρώνυμον· καὶ μακρόν· ἅπαντα τὰ διὰ τοῦ ιτης μακρά εἰσι.

Θερμόν] παρὰ τὸ τομόν, τροπῇ τοῦ τ εἰς θ, καὶ τοῦ ο εἰς ε, γίνεται θεμόν· ἐπλεόνασε δὲ τὸ ρ, εἰς παράτασιν τοῦ εὐκινήτου. διὰ τοῦτο καὶ τὸ πῦρ τὸ ρ ἔχει, καὶ ὁ ἀνὴρ, καὶ τὸ ὕδωρ, διὰ τὸ εὐκίνητον.

Θεσσαλονίκη, πόλις Μακεδονίας, ἥτις Ἁλία ἐκαλεῖτο· Κασάνδρου κτίσμα. ἢ ὅτι Φίλιππος ἐκεῖ Θετταλοὺς νικήσας, οὕτως ἐκάλεσεν. ἢ ὅτι Φίλιππος θεασάμενος κόρην εὐπρεπῆ, ἔγημε· καὶ τεκοῦσα, τῇ εἰκοστῇ ἡμέρᾳ τῆς λοχείας τέθνηκεν. ἀναλαβὼν οὖν ὁ Φίλιππος τὸ παιδίον, ἔδωκε Νίκῃ τρέφειν· καὶ ἐκάλεσε Θεσσαλονίκην. ἡ γὰρ μήτηρ τοῦ παιδίου Νικασίπολις ἐκέκλητο. Στράβων δὲ Θεσσαλονίκειαν αὐτήν φησι. τὸ ἐθνικὸν Θεσσαλονικεύς.

* Θερίδδειν, ἀντὶ τοῦ θερίζειν, Βοιωτικῶς, παρὰ Ἀριστοφάνει.

Θέσπις. ἔστι θεός, καὶ ὄψ ἡ φωνή· καὶ γίνεται θεόσπις· καὶ κατὰ συγκοπὴν, θέσπις θέσπιδος· ἡ αἰτιατικὴ, θέσπιδα καὶ θέσπιν. σημαίνει δὲ τὴν θείαν φωνήν. καὶ θέσπιν ἀοιδόν, ἐκ θεοῦ τὴν ὄπα ἔχοντα. εἰς τὸ ἀσπίς.

Θεσπέσιος] παρὰ τὸ θεός καὶ τὸ πέτω, ὃ σημαίνει τὸ πίπτω. (οὗ ὁ μέλλων, πέσω) γίνεται πέσιος, καὶ θεοςπέσιος· καὶ συγκοπῇ, θεσπέσιος, ὁ ἐκ τοῦ θεοῦ πεσών. ἢ θεῖος καὶ θαυμαστός. παρὰ τὸ ἕσπεσθαι θεῷ· καὶ θεσπεσία, θεία, θαυμαστή, οἱονεὶ θεοσπεσία· παρὰ τὸ σπέσθαι καὶ ἐπακολουθεῖν θεοῖς. ἢ παρὰ τὸ πεσεῖν, θεοςπεσία τίς. ἢ παρὰ τὸ θέσπις.

Θεσπίζω, σημαίνει τὸ ὁρίζω καὶ νομοθετῶ· ἀφ' οὗ καὶ θέσπισμα τὸ θεῖον δόγμα. σημαίνει δὲ καὶ τὸ μαντεύομαι. 448

Θεσπιδαὲς πῦρ, τὸ θεῖον.

Θέσφατον, ἀθέσφατον, ἀποβολῇ τοῦ α. ἢ ἀπὸ τοῦ θεόφατον, ὃ σημαίνει τὸ ἐκ τοῦ θεοῦ λεγόμενον, κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ σ.

Θέσκελα ἔργα, θεῖα, θαυμαστά. θεοείκελος, καὶ συγκοπῇ, θεόκελος, καὶ θεόκελον, καὶ θέσκελον, ὡς θεόφατον, θέσφατον.

Θεσμός, ἔστι τὸ ὅλον σύνταγμα τῆς πολιτείας. εἰς τὸ θέμις.

Θεσμοθέται, ἀρχή ἐστιν Ἀθήνησιν ἀνδρῶν ἕξ. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων ἐπιμέλειαν ἐποιοῦντο· θεσμὸν γὰρ ἐκάλουν τὸν νόμον. καὶ διαφέρουσι προσώποις· θεσμὸν γὰρ εἶναι τὸν Δράκοντος, νόμον δὲ τὸν Σόλωνος.

Θέσθαι, τὸ θησαυρίσασθαι, ἐν Ὀδυσσείας ν'. καὶ τὸν θησαυρὸν Ἀνακρέων θεσμὸν καλεῖ. εἰς δὲ τὸ ῥητορικὸν λεξικὸν, ἀντὶ τοῦ ὑποθήκην λαβεῖν, Ὑπερίδης· ἀντὶ τοῦ προέσθαι καὶ κυρῶσαι μόνον, Δημοσθένης ἐν τῷ περὶ ἀτελειῶν· ἐν μέντοι τῷ κατὰ Στεφάνου φησὶν, Ἑαυτῷ νόμους ἰδίους θέμενον: — ἀντὶ τοῦ θέντα.

Θετὸς υἱός, προςποιητός· τοὺς γὰρ εἰςποιητοὺς καὶ θετοὺς ἔλεγον· καὶ θέτην, τὸν εἰςποιησάμενον παῖδας θετούς. ἢ θέτης, ὁ εἰς ὑποθήκην λαβὼν ὁτιοῦν.

Θέτι καλλιπλοκάμῳ. ὥςπερ ἀπὸ τοῦ μῆτις μήτιδος μήτιδι, κατὰ ἀποβολὴν τοῦ δ, μήτιϊ, καὶ κράσει μήτι μακρόν· οἷον, Μῆτι τοι δρυτόμος μέγ' ἀμείνων: — οὕτω καὶ ἀπὸ τοῦ Θέτις Θέτιδος Θέτιδι, Θέτιϊ καὶ Θέτι, κατὰ κρᾶσιν τῶν δύο ι εἰς ἓν μακρόν· καὶ νεάνις, κράσει νῆνις νήνιος νήνιϊ· καὶ κράσει, νήνι.

Θευδᾶς, ὑποκοριστικὸν τοῦ Θεόδωρος.

Θευν Ἄρτεμιν, σημαίνει τὴν θεόν· καὶ κράσει Δωρικῇ τοῦ εο εἰς τὴν ευ δίφθογγον, ὡς ἐκ τοῦ ἐρέβεος, Ἐξ ἐρέβευς ἄξοντα.

Θεύσεσθαι, δραμεῖν. ἀπὸ τοῦ θέω, θεύω, θεύσω, θεύσομαι. τὸ δὲ θέω, κατὰ μὲν τὸ πρῶτον πρόσωπον, οὐ συναιρεῖται, κατὰ δὲ τὸ δεύτερον καὶ τρίτον.

Θετταλικὸς, ἐκ τοῦ Θετταλός· τοῦτο δέ ἐστι πολίτης Θετταλίας.

Θετταλικὰ πτερά] τοῦτο εἴρηται διὰ τὸ πτέρυγας ἔχειν τὰς Θετταλικὰς χλαμύδας. πτέρυγες δὲ καλοῦνται αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξι.

Θεωρός, παρὰ τὸ θεός, καὶ τὸ ὁρῶ· ἢ παρὰ τὸ τὰ θύη ὁρᾶν. θεωροὶ γὰρ οἱ θεαταί· ἀλλὰ καὶ οἱ εἰς θεὸν πεμπόμενοι, οἱ φύλακες τῶν θυσιῶν καὶ χρη-

σμῶν· ἢ τὸ θεῖον Φροντίζοντες. ὤρην γὰρ ἔλεγον τὴν Φροντίδα.

Θεωρικὸν ἀργύριον, τὸ εἰς θεῶν τιμὴν καὶ ἑορτὴν διδόμενον θεωρίας ἕνεκα, καὶ τοῦ τοὺς πένητας μετέχειν τῶν θεωρικῶν· καταχρηστικῶς δὲ καὶ πάντα τὰ διανεμόμενα θεωρικὰ ἔλεγον. ἦν τοίνυν κοινὰ χρήματα Ἀθήνησιν, ἃ ἐκάλουν θεωρικὰ, εἰς διανομὴν διδόμενα τοῖς Ἀθηναίοις· ἐπειδὴ Φασὶ τὸ παλαιὸν ὄχλου γενομένου ἐν τῷ θεάτρῳ, καὶ τῶν ξένων προκαταλαμβανόντων τὰς θέας, καὶ ἐκκλειομένων τῶν ἀστῶν, ἔδοξε δίδοσθαι θεωρικὸν, ἵνα τοῦτο λαμβάνοντες παρὰ τῆς πόλεως οἱ πολῖται, διδῶσιν αὐτοῖς τὸν τόπον τῆς θέας. ἦν δὲ τοῦτο ὀβολοὶ δύο. Φησὶν οὖν Δημοσθένης ἐν τῷ περὶ στε-
449 Φάνου, Ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἂν, εἰ μὴ τοῦτο ἐγράφη ἐν ταῖς λεγομέναις Διονυσίαις θεωρίαις: — ἀγώνων τελουμένων Φιλοτίμων, συνέβαινε τινὰς τῶν πολιτῶν εἰς ὕβρεις καὶ τραύματα διαΦέρεσθαι. ἔδοξεν οὖν τῷ δήμῳ, μηκέτι προῖκα θεωρεῖν τὰς θέας, ἀλλὰ διδόναι τοῖς πολίταις τὸ θεωρικὸν, δύο ὀβολούς. ὁ τοίνυν ἐπιμελούμενος τὸν χρόνον τοῦτον ἐλέγετο ἄρχων τῶν θεωρικῶν. ἦν δὲ καὶ τὰ θεωρικὰ χρήματα, ἃ διενέμετο ἡ πόλις ταῖς κοιναῖς ἑορταῖς, ὄντα κοινά· ἃ καὶ ἠξίου Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς στρατιωτικὰ γίνεσθαι, καὶ ἄλλα εἰς τὸ τὰς τῆς πόλεως χρείας Φυλάττειν· καὶ ἐκαλοῦντο στρατηγικά· ὕστερον δὲ ἐν ταῖς ἑορταῖς καὶ θυσίαις.

Θεῖος] ἀπὸ τοῦ θεός, θέειος· καὶ κατὰ κρᾶσιν, θεῖος.

Θεῖα, σημαίνει τὴν μητέρα τῆς σελήνης καὶ τοῦ ἡλίου. παρὰ τὴν θέαν, γέγονε θέεια· καὶ κατὰ συναίρεσιν, θεῖα. καὶ γὰρ αὕτη ἐστὶν αἰτία τῆς θέας, καὶ τοῦ θεωρεῖν ἡμᾶς.

Θεῖον, τὸ ἐπιθυμιώμενον εἰς κάθαρσιν καὶ ἀβλαβὲς ποιοῦν. ἔνθα καὶ τὸ, Πάσσε δ' ἁλὸς θείοιο: — θείους κέκληκε τοὺς ἅλας, διὰ τὸ ἄσηπτα τηρεῖν τὰ πασθέντα. καὶ θεείου καιομένου, Φησὶν ἐπὶ τοῦ κεραυνοῦ. ὁ δ' Εὐδαίμων, παρὰ τὸ θεός, θέειον· καὶ ἀποβολῇ τοῦ ε, θεῖον.

Θειλόπεδον, ὁ τόπος ἐν ᾧ ξηραίνονται αἱ σταΦυλαὶ, ἢ ἕτερα τινά. τὴν μέντοι τῶν συκῶν ψύξιν τρασιὰν ἐκάλουν. παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν θερμασίαν, γίνεται εἵλη, πλεονασμῷ τοῦ ι· μετὰ τοῦ πέδον, ὃ σημαίνει τὴν γῆν, τὸ χαμαί. γίνεται εἰλόπεδον. παρὰ τὴν τοῦ ἡλίου αὐγήν· καὶ πλεονασμῷ τοῦ θ.

Θείομεν, ἐνθῶμεν, ἐμβάλωμεν. Ἰστέον ὅτι ἥμαρτεν Ἡρωδιανὸς ἀρνησάμενος τὸ θείω ἐνεστῶτα εἶναι, ἀφ' οὗ τὸ θείομεν. ἔστι δὲ ὑποτακτικὸν δευτέρου ἀορίστου, ἔχον διαίρεσιν καὶ πλεονασμόν. Ὄφρ' ἂν ἐγὼ βείω: — καὶ τὸ, ἐὰν στῶ. — μήπως με περιστείωσ' ἕνα πολλοί: — ὥςπερ δαμῶ δαμείω, οὕτω θῶ, θέω· καὶ παρὰ ΣαπΦοῖ, Ὄττινας γὰρ εὖ θέω, κεῖνοί με μάλιστα σίνονται: — τοῦτο ἐν πλεονασμῷ, Θείω ἀναρπάξας: — εἶτα ἀκολουθεῖ θείωμεν· καὶ κατὰ συστολὴν, θείομεν, ὡς τὸ καταβείωμεν συστολῇ, Δεῦρ' ἐς τοὺς Φύλακας καταβείομεν: — Μὴ εἴομεν Δαναοῖσι μαχησόμενοι: — Ἀλλ' ἄγε δὴ Φιλότητι τραπείομεν: — οὕτω ζήτει. ἐν ἄλλοις δὲ, ἀπὸ τοῦ θῶ θείω, ὡς ὄψω ὀψείω, καὶ τελῶ τελείω.

Θειαζόντων, μαινομένων, ἢ θεολήπτων γινομένων. καὶ θειάσαντες· καὶ ἐπιθειάσας, τὸ ἐπιθαυμάσας.

Θειάσας, τὸ θεῖον εἰςδεδεγμένος, θεοΦορούμενος. παρὰ τὸ θεός, γίνεται θεῶ· ὁ πρῶτος ἀόριστος, ἐθεάσω· θεάσας, ἡ μετοχή· καὶ πλεονασμῷ τοῦ ι, θειάσας. ἢ παρὰ τὸ θειάζω. ὁ δὲ Μιλήσιος παρὰ τῷ συγγραΦεῖ, θεοὺς ἐπικαλεσάμενος καὶ κατευξάμενος. ἔστι γὰρ ἀπὸ τοῦ ἐπιθεάζειν.

Θίασος, ὤΦειλε διὰ διΦθόγγου γράΦεσθαι· ἐτυμολογεῖται δὲ παρὰ τὸ τὰ θεῖα ᾄσαι· ἡ δὲ παράδοσις, διὰ τοῦ ι. λέγεται δὲ ὁ χορός· παρὰ τὸ τὰ θεῖα ᾄδειν. ἢ ἀπὸ τοῦ θεῖν, ὅ ἐστι θεύειν· ὅθεν θιασώτας λέγουσι τοὺς περὶ τὸν Διόνυσον. καὶ θιασῶται, χορευταὶ, οἱ τὰ θεῖα ᾄδοντες. θιασώτης, ι, καὶ μέγα· ἀπὸ παραδόσεως. 450

Θίς, θηλυκῶς, λέγεται ὁ αἰγιαλός· Ἐκβάντες ἐπὶ θῖνα: — παρὰ τὸ θέω τὸ τρέχω· ἐν γὰρ τῷ αἰγιαλῷ θέουσι καὶ τρέχουσι τὰ κύματα. ἢ παρὰ τὸ θένω τὸ τύπτω· ἐν γὰρ τῷ αἰγιαλῷ θένονται καὶ τύπτονται τὰ κύματα· εἰς ὃν ἐγκρούουσι τὰ κύματα. ἀρσενικῶς δὲ σημαίνει τὸν σωρόν· καὶ γίνεται παρὰ τὸ θῶ, ὡς τὸ, — πολὺς δ' ἀμΦ' ὀστεόΦιν θίς: — ὅ ἐστι σωρός. τὸ δὲ θείνω σημαίνει δύο· τὸ τύπτω, καὶ τὸ Φονεύω.

Θῆβαι, τὸ νῦν Ἀδραμύττειον καλούμενον.

Θιγγάνει καὶ ἐπιθιγγάνει, τὸ ἐΦάπτεται καὶ προσεγγίζει. ἐκ τοῦ θίγω, γίνεται θιγγάνω. θήγει δὲ, ὀξύνει, ἀκονᾷ· γίνεται ἀπὸ τοῦ θήγω, θηγάνω, ὡς παρὰ τὸ ἥδω, ἁνδάνω· πήθω, πανθάνω· μήθω, μανθάνω· καὶ δήκω, δαγκάνω. τὸ δὲ θήγω τὸ ἀκονῶ, παρὰ τὸ θοῶ, θοήγω, καὶ θήγω, τουτέστι τὸ θοὸν καὶ ὀξὺ ποιῶ· — ἐγὼ δ' ἐθόωσα παραστάς.

Θηεῦντο] θηεῦντο μέγα ἔργον: — ἐθεῶντο, ἐθαύμαζον, ἢ ἐθεώρουν. ἐθέοντο· ὑπερθέσει, θεέοντο· καὶ κατὰ συναίρεσιν τοῦ εο εἰς τὴν ευ δίΦθογγον, θεεῦντο· καὶ ἐκτάσει τοῦ ε εἰς η, θηεῦντο. θεάω θεῶ, θεάσω· καὶ τὸ παθητικὸν, θεάομαι θεῶμαι· ὁ παρατατικὸς, ἐθεαόμην ἐθεώμην· τὸ γ' τῶν πληθυντικῶν, ἐθεάοντο, ἐθεῶντο· καὶ οἱ Δωριεῖς τὸ ω τρέπουσιν εἰς τὴν ου δίΦθογγον· καὶ συστολῇ τῆς ἀρχούσης, καὶ τροπῇ, θηεῦντο.

Θηλαμών, ἡ τροΦός. παρὰ τὸν θήσω μέλλοντα· δηλοῖ τὸ θηλάσω. τὸ γὰρ θήσω δύο σημαίνει, τὸ ποιῶ, καὶ τὸ θηλαζω, ἔστι θῶ ῥῆμα, δηλοῦν τὸ τρέΦω· οὗ ὁ μέλλων, θήσω. Ὅμηρος, — γυναῖκα τεθήσατο μαζόν: — ἀντὶ τοῦ ἐθήλασεν. ἐκ τοῦ θήσω οὖν γίνεται ῥηματικὸν ὄνομα θηλή· καὶ τροπῇ, θῆλυς, ὡς κάρη, κάρυς. εἴρηται γὰρ καὶ θηλυκῶς κάρη, ὡς παρὰ Καλλιμάχῳ, — ἥν τε κάρην ὤμοσα σόν τε βίον.

Θίς] τὸ θίς ἐπὶ τοῦ αἰγιαλοῦ ἀρσενικὸν καὶ θηλυκόν ἐστι· καὶ ἐπὶ τοῦ σωροῦ, ὁμοίως ἀρσενικὸν καὶ θηλυκόν ἐστι. — θινὶ Φοινικόεντι: — καὶ ἐπὶ τοῦ σωροῦ θηλυκῶς παρὰ Αἰσχύλῳ, — θινὸς ἐμβολὰς ἁλίς.

Θήβησι] τὸ Θήβησιν, ὅτε μὲν ἔχει τὴν πρόθεσιν, τότε δοτική ἐστιν, οἷον ἐν Θήβαισιν· ὅτε δὲ χωρὶς αὐτῆς ἐστι Θήβησι, τότε ἐπιῤῥηματικῶς κεῖται.

Θήβα, Συριστὶ λέγεται ἡ βοῦς· ὅθεν ἐκλήθησαν αἱ Θῆβαι ὑπὸ τοῦ Κάδμου κτισθεῖσαι· ὅτι ζητῶν τὴν ἀδελΦὴν, χρησμὸν ἔλαβε κατοικῆσαι ὅπου ἡ βοῦς ἑαυτὴν καταθήσει. ἢ ἀπὸ Θήβης θυγατρὸς Μετώπης, γυναικὸς Ἀσωποῦ. ἀφ' ὧν καὶ ὠνομάσθησαν ἐκεῖ πολῖται καὶ πόλις, ὡς εὗρον εἰς τὸ σχόλιον τοῦ Πινδάρου ἐπινικίῳ ὕμνῳ Ἀγησίᾳ Συρακουσίῳ.

Θήλεια] ἐκ τοῦ θῆλυ, γίνεται θῆλυς· καὶ ἐκ τοῦ θῆλυς, θήλεια. ἢ παρὰ τὸ θάλλειν καὶ γεννᾶν· ὅθεν καὶ ἡ ὕπομβρος νὺξ παρὰ ΣοΦοκλεῖ θήλεια καλεῖται. θηλὴ δέ ἐστιν ὁ μασθός. Θηλύτεραι δὲ γυναῖκες, Ἰλιάδος θ', αἱ πρὸς τὰ ἀΦροδίσια καταΦορώτεραι, ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζώων· τὰ μὲν γὰρ ἄλλα, ὡρισμένον ἔχει καιρὸν, ἐν ᾧ μίγνυνται· αὗται δὲ, διηνεκῶς πλησιάζουσι.

* Θηλυμανής, τῆς θήλυος ἔρωτι μαινόμενος.

Θηλυτεράων] ὅτι τὰ λοιπὰ ζῶα ὅρον ἔχει τῆς μίξεως
451 τὴν σύλληψιν· αὗται δὲ ἀεί· διὸ ἐκ τοῦ ἐναντίου οἱ ἄνδρες ἀλφησταὶ λέγονται οἱ κατωφερεῖς· κατὰ μεταφορὰν ἀπὸ τῶν ἰχθύων· ἀλφησταὶ γὰρ εἶδος ἰχθύος. ἢ οὖν κατωφερῶν, ἢ θαλλουσῶν, ἢ εὐκάρπων. καρπὸς γὰρ αὐτὸς ἄνθρωπος, οὗ βελτίων οὐδεὶς, οὗ βέλτιον οὐδέν· ὡς ἐπὶ τοῦ, Νήσων θηλυτεράων.

Θημών· παρὰ τὸν θήσω μέλλοντα· δηλοῖ τὸ τιθῶ· σημαίνει τὸν σωρὸν τῶν δραγμάτων· καὶ θημωνία, σωρὸς καρπῶν.

Θημακεύς] δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηΐδος, Θημακός.

Θηραμένης, ὄνομα κύριον. οὗτος ἀνῃρέθη κατηγορήσαντος αὐτοῦ Κριτίου ἐπὶ τῶν τριάκοντα.

Θήρ θηρός, παρὰ τὸ ῥαδίως θέειν, ἤγουν εὐκόλως τρέχειν. ἢ παρὰ τὸ φθείρω, φθερῶ, φθὴρ καὶ θήρ.

Θηρίον, παρὰ τὸ θήρ. τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ, εἰ μὲν ὦσι δακτυλικὰ, πρὸ μιᾶς ἔχει τὸν τόνον· οἷον, φορτίον, κλειδίον, φυκίον· εἰ δὲ τρίβραχα, προπαροξύνεται, φλέβιον, τόπιον· φακός, φάκιον· λαγός, λάγιον· νάκος, νάκιον. οὕτως ἴχνος, ἴχνιον, ὡς βραχέα. εἰς τὸ ἐρκίον.

* Θηρόβοτος, ὁ θῆρας βόσκων.

Θηροδίωξ καὶ αἰγοδίωξ. ἰστέον ὅτι παροξύνεται.

Θηρωτής, κυρίως λέγεται ὁ σύας καὶ λέοντας θηρεύων, παρὰ τὴν θήραν· τούτους γὰρ θῆρας ἐξαιρέτως ἐκάλουν οἱ ἀρχαῖοι· καταχρηστικῶς δὲ, καὶ ἐπὶ πάντων.

Θηρίκλειον κύλικα, ποτήριον ὑέλινον, τὸ τοῦ Θηρικλέους ποτήριον· Θηρικλέους τέκνον κύλιξ: — ἣν λέγουσι πρῶτος κεραμεὺς Θηρικλῆς ἐποίησε, ὥς φησιν Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητής.

Θησαίατο] ἀπὸ τοῦ θεῶ, θεήσω, ἐθεασάμην· τὸ εὐκτικὸν, θεασαίμην, θεάσαιντο· καὶ κράσει τοῦ ε καὶ α εἰς η.

Θηήσαντο, ἐθαύμασαν. ἀπὸ τοῦ ἐθεάσαντο γίνεται ἐθεήσαντο· καὶ ὑπερθέσει, θεεήσαντο· καὶ κράσει τῶν δύο εε εἰς η, θηήσαντο.

Θησεύς, ὠνόμασται διὰ τὴν τῶν γνωρισμάτων θέσιν, τοῦ τε ξίφους καὶ τῶν πεδίλων, ὡς ἡ ἱστορία δηλοῖ. οἱ δὲ, ὕστερον Ἀθήνησι παῖδα θεμένου τοῦ Αἰγέως αὐτοῦ.

Θήσειον, τέμενός ἐστι τῷ Θησεῖ· ὃ τοῖς οἰκέταις ἄσυλον ἦν· ἐλέγοντο δὲ δίκαι ἐνταῦθα. ἢ ναὸς τοῦ Θησέως· ἐφ' ὃν οἱ ἀποδιδράσκοντες δοῦλοι προσέφευγον. Φιλόχορος δὲ οὐ μόνον τοὺς οἰκέτας τὸ παλαιὸν φησὶ καταφεύγειν εἰς τὸ Θήσειον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν ἱκετεύοντας. δηλοῖ δὲ καὶ φυτόν τι ποιὸν, καὶ τὸ δεσμωτήριον παρὰ Ἀθηναίοις. τὰ δὲ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα μονογενῆ προπερισπᾶται, βαλανεῖον, βαφεῖον· πλὴν τοῦ Θησεύς, θήσειον· καὶ τὸ Φύτειον πόλις, ἀπὸ Φυτέως τοῦ κτίσαντος αὐτήν. πρόσκειται μονογενῆ, διὰ τὸ βασιλεὺς, βασίλειον. ἔστι δὲ τριγενὲς, οἷον βασίλειος οἶκος, βασίλεια χείρ, βασίλειον οἴκημα.

Θησειότριψ, ὁ ἐν τῷ Θησείῳ διατρίψας. Ἀριστοφάνης Πολυΐδῳ. καὶ θησομύζειν δὲ, τὸ ἐν αὐτῷ λέγειν.

Θήττα, ἐπίκλην, οὐκ ἔχουσα φερνὴν, πενιχρὰ καταλειφθεῖσα ὑπὸ τοῦ πατρὸς, καὶ ὑπὸ τῶν ἀγχιστέων προικιζομένη κατὰ νόμον. ἐκ τοῦ θής θητός, τὸ θηλυκὸν, θῆσσα, ἡ μισθωτὸς καὶ πενιχρά.

452 Θητεία, δουλεία· καὶ θητεύς. εἰς τέσσαρα διαιρουμένης παρὰ Ἀθηναίοις τῆς πολιτείας, οἱ ἀπορώτατοι θῆτες ἐλέγοντο. εἰς τέσσαρα δὲ τέλη, πεντακοσιομέδιμνον, ἱππέα, ζυγίτην, θῆτα.

Θητικόν] Καὶ θητικὸν τελεῖ: — θεραπευτικόν, ὑποχείριον, ἐργαστικὸν τῶν δεόντων, μισθαρνικόν. σημαίνει δὲ τὸ ἔσχατον τίμημα παρὰ Ἀθηναίοις, εἰς τέσσαρα τέλη διῃρημένου τοῦ πολιτεύματος. γέγονε δὲ ἀπὸ τοῦ θής θητὸς θητικὸν, κτητικῷ τύπῳ. τὸ δὲ θής, παρὰ τὸ τῶ, ὃ σημαίνει τὸ λαμβάνω· ὅπερ μετὰ τῆς τη στερήσεως γίνεται τητῶ, τὸ οὐ λαμβάνω. θῆτες οὖν, οἱ μισθῷ διὰ πενίαν ἐργαζόμενοι. παρὰ τὸ τητᾶσθαι, ὅ ἐστι στέρεσθαι· ὡς εἶναι τῆτες καὶ θῆτες οἱ πένητες, οἱ ἐπὶ συντάξεσί τισι καὶ ἐπὶ μισθῷ δουλεύοντες. οὗτοι δὲ οὐδὲ μιᾶς μετεῖχον ἀρχῆς, οὐδ' ἐστρατεύοντο.

Θίς, ὁ αἰγιαλός· παρὰ τὸ θέω· ὁ παραθέων τῇ θαλάσσῃ, καὶ παρήκων, ὁ εἰς ὕψος ἀναθέων. οὕτως Ὧρος. Ὅμηρος, — πολὺς δ' ἀμφ' ὀστεόφιν θίς: — παρὰ τὸ εἰς ὕψος ἀναθεῖν. θίς, ἐπὶ τοῦ σωροῦ· παρὰ τὸ θῶ, ἀφ' οὗ θεῖναι καὶ ἐπιθεῖναι.

Θῆτες, παρὰ τὸ τητᾶν, ὅ ἐστι σπανίζειν τροφῆς, καὶ διὰ τοῦτο δουλεύειν ἐλευθέρους ὄντας. ἢ οἱ ποιητοὶ δοῦλοι· ἢ παρὰ τὸ τῶ τὸ ζητῶ, ὁ ἐπὶ μισθῷ δουλεύων.

Θανῆ] θνῶ, θνήσκω· ὁ δεύτερος ἀόριστος, ἔθανον· ὁ μέλλων δεύτερος, θανῶ, θανοῦμαι, θανῇ.

Θνητός, παρὰ τὸν θάνατον· πρὸς ἀντιδιαστολὴν τῶν θεῶν. γέγονε θανῶ, θανήσω, θανητός, καὶ θνητός.

Θνησιμαῖος] ἐκ τοῦ θνήσιμος, θνησιμαῖος.

Θνήσκω] ὡς παρὰ τὸ τρῶ, τρώσω, τρώσκω· καὶ βρῶ, βρώσω, βρώσκω καὶ βιβρώσκω. ὁ Δίδυμος χωρὶς τοῦ ι. ὥσπερ ἀπὸ τοῦ ἀρέσω μέλλοντος γίνεται ἀρέσκω καὶ μεθύσκω πλεονασμῷ τοῦ κ, καὶ μετάγονται εἰς ἐνεστῶτα, οὕτω καὶ ἀπὸ τοῦ μνῶ μνήσω, καὶ θνῶ θνήσω, γίνεται θνήσκω καὶ μνήσκω· καὶ οὐκ ἔχει τὸ ι. οἱ δὲ λέγουσι σὺν τῷ ι, ὅτι οἱ Αἰολεῖς θναίσκω καὶ μναίσκω λέγουσι, διὰ τῆς αι διφθόγγου. ἀλλ' ἰδοὺ τὸ Ἡσίοδος καὶ ἡμίονος Αἰσίοδος καὶ αἰμίονος λέγουσιν, ἀλλ' ὅμως οὐκ ἔχει τὸ ι. ἡ μέντοι παράδοσις ἔχει τὸ ι· ἴσως ἐκ τοῦ λέγειν τοὺς Αἰολεῖς θναίσκω καὶ μναίσκω. ἄλλοι δὲ λέγουσιν, ὅτι διὰ τοῦ ισκω γίνεται ἡ παραγωγὴ, θνῄσκω καὶ μνῄσκω. οὐ καλῶς δὲ λέγουσι· καὶ γὰρ τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων διὰ τοῦ ισκω ποιοῦσι τὴν παραγωγὴν, οἷον, εὑρῶ εὑρεῖς, εὑρίσκω· στερῶ στερεῖς, στερίσκω· τὰ δὲ τῆς δευτέρας, διὰ τοῦ ασκω, ἡβῶ ἡβᾷς, ἡβάσκω· τὰ δὲ τῆς τρίτης, διὰ τοῦ ωσκω, βιῶ βιοῖς, βιώσκω. εἰ οὖν ὡς ἀπὸ τοῦ θνῶ θνήσω θνήσκω γέγονε, καὶ μνῶ μνήσω μνήσκω, ταῦτα δὲ δευτέρας συζυγίας εἰσὶν, ὤφειλε διὰ τοῦ ασκω εἶναι ἡ παραγωγὴ, καὶ οὐ διὰ τοῦ ισκω. ὥστε δευτέρας συζυγίας εἰσί. καὶ δῆλον ἐκ τοῦ μνῶμαι, ὥσπερ βοῶμαι· καὶ τὸ τέθνημι, τέθναθι γινόμενον διὰ τοῦ α, ὥσπερ ἵστημι, ἵσταθι. ἔχει δὲ τὸ η τὰ δύο ταῦτα.

Θοός] ἀπὸ τοῦ θέω τὸ τρέχω, γίνεται θοός, ὁ ταχύς· καὶ τὸ θηλυκὸν, θοή. διατί; ὥσπερ ἀπὸ τοῦ πλόος γράφεται πλοῦς, μὴ καὶ ἀπὸ τοῦ γόος γοῦς, καὶ θοός θοῦς. καὶ περὶ μὲν τοῦ γόος, ἔστιν εἰπεῖν, ὅτι τὰ εἰς ος δισύλλαβα οὐκ ἔχει ῥῆμα παρακείμενον τῆς δευτέρας συζυγίας τῶν περισπωμένων· οἷον, γοῶ, γοᾷς· οὗ 453
χάριν παρήλλακται. περὶ δὲ τοῦ θοός, ὅτι ἐπειδὴ τὰ διὰ τοῦ ος δισύλλαβα, πάντα βαρύνεται· τὸ δὲ θοός, ὀξύνεται· οὗ χάριν διήλλαξε κατὰ τὸ μὴ κιρνᾶσθαι. ἐν δὲ τῇ συνθέσει τὸ θοός βαρύνεται, Πάνθοος, Πάνθους.

Θοή, σημαίνει πέντε· τὸ μέγα, οἷον, — θοαῖς ἀφροσύναις, ἀντὶ τοῦ μεγάλαις· καὶ, — θοὴ δ' ὑπεδέξατο γαῖα, ἀντὶ τοῦ μεγάλη. εἶτα εὑρίσκεται θοόν τὸ ταχὺ, ἢ ὀξὺ, ἢ ἰσχυρόν. καὶ, — ἀκόντισε δουρὶ θοῶς, ἰσχυ.

ρῶς. — νῆας θοάς, ταχείας. — νήσοισι θοῇσιν. ὀξείαις· ὀξεῖαι γὰρ οὕτω καλοῦνται νῆσοι περὶ τὴν Κεφαληνίαν. Αἰνείας δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής: — τὸ γὰρ λεγόμενον ἀγαθόν, πταῖσμα· ἡγοῦμαι γὰρ τὸν ἀνδρεῖον καὶ ἰσχυρόν. καὶ, θοῶς δ' ἐπὶ δεσμὸν ἵηλα: — ἀντὶ τοῦ ασφαλῶς· ἐκ δὲ τούτου, τὸ ἑδραῖον· καὶ ἐκ τοῦ ἑδραίου, τὸ ἰσχυρόν. καὶ θοὴν δαῖτα, τὴν ἑδραίαν καὶ ἀκίνητον, διὰ τὸ καθεζομένους ταύτης τυγχάνειν. καὶ θοὴν νύκτα, τὴν ἑδραίαν, οὐχ, ὥς τινες, τὴν μέλαιναν, ἀλλὰ τὴν ἀκίνητον· ἢ τὴν ταχέως ἐπιλαμβάνουσαν τὴν γῆν.

Θοηρός, ὁ τεταραγμένος.

Θόραι, δῆμος Ἀντιοχίδος.

Θόρυκος, δῆμος Ἀκαμαντίδος.

Θόρυβος] παρὰ τὸ θέω τὸ τρέχω καὶ τὸ βοή. ἢ παρὰ τὸ θέω τὸ τρέχω, γίνεται θέρυβος καὶ θόρυβος.

Θολερῶς προβαίνεις: — μὴ καθισταμένην καὶ ἀσφαλῆ πορείαν ἔχων, ἀλλ' ἀναστάτως καὶ τεταραγμένως προϊών.

Θολερός. παρὰ τὸ θολόν, θολερός· θολός δέ ἐστι τὸ μέλαν τῆς σηπίας· ἐξ οὗ καὶ ῥῆμα θολῶ.

Θόλος, περιφερὲς οἰκοδόμημα· ἀπὸ τοῦ περιθεῖν. Θόλος, τόπος τὶς ἐν τοῖς ἀρχείοις κληθεὶς, διὰ τὸν τρόπον τῆς κατασκευῆς· ἦν γὰρ λιθοειδὴς, καὶ ὀροφὴν εἶχε περιφερῆ οἰκοδομητὴν, οὐχὶ ξυλίνην, ὡς τα ἄλλα οἰκοδομήματα. λέγεται θηλυκῶς ἡ θόλος.

Θορός, ὁ σπόρος τοῦ σώματος· ἀπὸ τοῦ θορῶ τὸ ὁρμῶ· ὁ μεθ' ὁρμῆς πεμπόμενος. τοῦτο παρὰ τὸ θέειν ῥᾷον.

Θοῦρος, ὁ ὁρμητικός, ὁ πολεμιστής· καὶ θοῦρον, τὸν πηδητικὸν καὶ ταχύν· οἱονεὶ ὁ θοῶς ὀρούων, ἢ ὁ κούφως ὀρούων. παρὰ τὸ θέρω τὸ θερμαίνω, θόρος καὶ θοῦρος· ἀπὸ μεταφορᾶς τῆς τοῦ πυρὸς ὁρμῆς· καὶ θορεῖν, τὸ πηδᾶν, παρὰ τὸ αὐτό. ἢ ἀπὸ τοῦ θέω ῥήματος· ὅθεν καὶ τὸ θεῖον τὴν ἀρχὴν εἴληφεν· ὥςτε τὴν γεννητικὴν τοῦ πυρὸς οὐσίαν ἀπὸ τοῦ θέω ῥήματος ὀνομάσαι τοὺς ἀρχαίους. ταύτῃ γοῦν τοὺς μὲν ταχεῖς, θερμοὺς λέγουσι· τοὺς δὲ βραδεῖς, ψυχρούς. ἀπὸ δὲ τοῦ θοῦρος, γίνεται θορῶ τὸ ὁρμῶ καὶ πηδῶ.

* Θουριομάντις, ὁ σοφός· ὅτι ἐπὶ τὸ κτίσαι τὴν Θουρίαν πόλιν μάντεις σοφοὶ ἐπέμφθησαν.

Θοῦρις, ἡ ἀσπίς. παρὰ τὸ θύειν, θύρις· καὶ πλεονασμῷ τοῦ ο, θοῦρις. ἀπὸ τῶν περιεχομένων τὸ περιέχον εἴρηται. ἢ θοῦρις ἡ θοροποιός. καὶ, — θοῦριν ἐπιειμένοι ἀλκήν.

Θοίνη, εὐωχία, τροφή, κατάβρωμα. παρὰ τὸ θῶ, ὁ μέλλων, θώσω, τρίτης συζυγίας τῶν περισπωμένων, γίνεται ῥηματικὸν ὄνομα θώνη, καὶ θοίνη.

Θίασμος, εὐωχία· ἔσθ' ὅτε δὲ καὶ τὸ βακχεῖον φησί· κυρίως δὲ τὸ πλῆθος. Εὐριπίδης θίασμος, ἑσμὸς γυναικῶν.

454 Θιασώτης, ὁ κοινωνὸς τῶν θυσιῶν. ἐκαλοῦντο δὲ καὶ οὗτοι ὀργεῶνες. ἐκλήθησαν δὲ ἀπὸ τοῦ θιάσου, ὅπέρ ἐστι σύνοδος καὶ συναγωγή· ἀπὸ τοῦ θεῖν.

Θλίψις] ἐκ τοῦ θλίβω, θλίψω, θλίψις. τοῦτο παρὰ τὸ θλῶ θλίβω, ἢ παρὰ τὸ θρῶ θρύβω, καὶ θλίβω κατὰ τροπήν. τὰ εἰς βω λήγοντα ῥήματα ἑνὶ φωνήεντι παραλήγεται· πλὴν τοῦ ἀμείβω, στείβω, εἴβω τὸ στάζω, ὡς τὸ, — τέρεν κατὰ δάκρυον εἶβεν.

Θρασὺς] παρὰ τὸ θέρω τὸ θερμαίνω, ὁ μέλλων Αἰολικῶς, θέρσω, γίνεται θερσύς· καὶ τροπῇ τοῦ ε εἰς α, καὶ ὑπερθέσει, θρασύς· οἱ γὰρ θρασεῖς, θερμοί.

Θρανήτιδες, κῶπαι θηρευτῶν.

Θρανίου δίφρου. θράνος ὑποπόδιον καὶ θρανίδιον λέγεται· θραύεται γὰρ καὶ κλᾶται.

Θραῦσις] ἐκ τοῦ θραύω θραύσω, θραῦσις. ἔστι δὲ φθορά, θάνατος, ἀῤῥωστία, συντριβή, πληγή. θραύματα, νευροσπάσματα.

Θρασυκάρδιος, θρασύς, τολμηρός.

Θράττειν, ταράττειν, (ἐνοχλεῖν, νύσσειν, κινεῖν, δυσωπεῖσθαι, ὑφορᾶσθαι τράττειν, καὶ θράττειν.

Θρᾷξ Θρᾴϊξ· (ἐξ οὗ τὸ, Θρήϊκες ἀκρόκομοι: —) καὶ κατὰ συναίρεσιν, Θρᾷξ. καὶ πάντα τὰ ἀπ' αὐτοῦ συγκείμενα θηλυκὰ διὰ τοῦ ι γράφεται, Θρήϊσσα γυνὴ, καὶ Θρᾴϊσσα· Ἀθηναῖοι δὲ, Θρᾷττα λέγουσι. καὶ τὸ Θρᾴκη δὲ ἔχει τὸ ι. Θρακίας, καὶ πλεονασμῷ τοῦ σ, Θρασκίας, ὁ ἄνεμος.

Θρέπτα, λέγεται τὰ τεθραμμένα· Θρέπτρα δὲ τὰ θρεπτήρια, ὥςπερ λύτρα τὰ λυτήρια. οὕτως εὗρον ἐγώ.

Θρέξασκον, ἀντὶ τοῦ ἔτρεχον. τρέχω· ὁ μέλλων, θρέξω· ἔθρεξαν· καὶ Ἰωνικῶς, θρέξασκον.

* Θρέμματα, τὰ βοσκήματα, παρὰ τὸ τρέφεσθαι. οὐδὲν γὰρ ἄλλο φροντίζει, εἰ μὴ ὡς τρέφηται.

Θρέψας, τὸ πήξας· ὡς τὸ, Ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος: — καὶ τροφαλίς, ἔνθα τὸ πῆγμα τοῦ γάλακτος καὶ τεθραμμένον· ἔνθα καὶ τρέφεται, τὸ περιπηγνύμενον. σημαίνει καὶ τὸ σύνηθες, Τὴν μὲν ἄρα θρέψασα τεκοῦσα: — διατί τρέφω θρέψω, καὶ τρέχω θρέξω, καὶ ἔχω ἕξω, οὐ συνάρχεται τῷ ἐνεστῶτι; ἐπειδὴ τὸ μὲν ἔχω, ψιλοῦται· τὸ δὲ ἕξω, δασύνεται· τὰ δὲ λοιπὰ, ὅτι Ἰωνικὰ, ἐτράπη τὸ ψιλὸν τ εἰς θ δασύ· οἱ γὰρ Ἴωνες ἔθος ἔχουσι τὸ παρ' ἡμῖν ψιλούμενον εἰς δασὺ τρέπειν· τὴν γὰρ χύτραν, παρὰ τὸ χέειν ἡμᾶς ἐξ αὐτῆς, κύθραν λέγουσιν. ἔστι δὲ ἄλλως εἰπεῖν, ὅτι θρέφω καὶ θρέχω ὤφειλεν εἶναι, ἵνα συνάρξηται τῷ μέλλοντι· ἀλλ' ἕτερός τις κανὼν ἐναντιοῦται, ὃν δεῖ τὸν Φιλόπονον ἐν τῷ τοῦ Γεωργίου τοῦ Χοιροβοσκοῦ ῥηματικῷ ζητεῖν.

Θρῆνος] παρὰ τὸ θραύειν τὸν νοῦν, θράνος καὶ θρῆνος· ἢ παρὰ τὸ θέρειν (ὅ ἐστι καίειν) τὸν νοῦν· ἢ παρὰ τὸ θρηβὴς καὶ ἀνατεταμένη βοὴ εἶναι. διαφέρει δὲ ἐπικηδείου· ὅτι τὸ μὲν ἐπικήδειον, παρ' αὐτὸ τὸ κῆδος, ἔτι τοῦ σώματος προκειμένου, λέγεται· ὁ δὲ θρῆνος, οὐ περιγραφόμενος χρόνῳ.

Θρῆνυς, ὑποπόδιον· λέγεται καὶ ἀρσενικῶς· εἴρηται παρὰ τὸ θράνος, ὅ ἐστι μικρὸν ὑποπόδιον. λέγεται θρῆνυς, καὶ ἡ μέση τῆς νηὸς διήκουσα σανίς· ἀφ' ἧς καὶ θρανῖται λέγονται, παρὰ τὸ ἐν αὐταῖς ἰζάνειν. Ἰλιάδος ο', Θρῆνυν ὑφ' ἑπτάποδα.

Θρῆνυς, ὑποπόδιον. βέλτιον δὲ θρῆνυν καλεῖσθαι ὑπὸ 455
Ὁμήρου τὰς καθέδρας τῶν ἐρετῶν· ἀναχωρῶν γὰρ ἀπὸ τῶν τῆς νεὼς καταστρωμάτων ἐπὶ ταύτην ἀφικνεῖται. τινὲς δὲ τόπον τῆς νεὼς βάσιν ἔχοντα, ἐφ' οὗ τὸν κυβερνήτην τοὺς πόδας τιθέναι· ὃ καὶ ἑδώλιον φασίν. ἄλλοι δὲ τὴν ὑποδεχομένην τὸν ἱστὸν τράπεζαν εἶπον· οἱ δὲ, διαβάθραν ἀπὸ νεὼς ἐπὶ νῆα. ἑπταπόδην δὲ, ἑπτὰ ποδῶν τὸ μέγεθος ἔχουσαν.

Θρῆσκος, ἑτερόδοξος· ἐκ τοῦ Θρᾷξ θρᾳκός· καὶ θρησκεία, παρὰ τὴν τῶν Θρᾳκῶν ἐπιμέλειαν τὴν πρὸς τὸ θεῖον καὶ τὴν Ὀρφέως ἱερουργίαν· οὗτοι γὰρ πρῶτον ἐξεῦρον τὴν περὶ τὸ θεῖον ἔννοιαν. ἢ παρὰ τὸ τοὺς θεοὺς ἀρέσκεσθαι ἢ ἀρέσκειν, ὅ ἐστιν ἐξευμενίζεσθαι· καὶ ὁ Θεολόγος, Οὐ Θρᾳκῶν ὄργια· παρ' ὧν καὶ τὸ θρησκεύειν, ὡς λόγος.

Θρίαμβος, ἐπίδειξις νίκης, πομπή, καὶ τὸ σεμνύνεσθαι. ἔν τισι πόλεσιν, ὅταν ἤνθουν αἱ συκαῖ, παῖδες περιελόντες σῦκα σὺν αὐτοῖς τοῖς θρίοις, ἔπαιζον, προςφέροντες ἰαμβεῖα τετράμετρα, ἢ ἡμιάμβεια. θρία δὲ εἰσὶ τὰ τῆς συκῆς φύλλα· ἐπεὶ εἰς τρία διέσχισται. ἐτυμο-

λογεῖται δὲ παρὰ τὸ ἐν αἰθρίᾳ βάζεσθαι, ὅ ἐστι λέγεσθαι. γίνεται ἐκ τοῦ τρία, θρία· καὶ γὰρ τριμερές ἐστι τὸ φύλλον τῆς συκῆς. ἐκ τούτου γίνεται θρίαμβος, καὶ θριαμβεύω· λέγεται γὰρ, ὅτι ὁ Διόνυσος ἐποίησε στέφανον ἀπὸ συκῆς, καὶ οὕτως ἐθριάμβευσεν, ἤγουν ἐπὶ μέσης διέβη. καὶ ἔτι φασὶν ἐν τῷ δήμῳ τοῦτο γίνεσθαι. λέγεται καὶ θρίαμβος ὁ Διόνυσος, ὅτι ἐπὶ θηρῶν ἐπὶ λεόντων βέβηκεν, οἷον θηρίαμβος· τῷ γὰρ ἅρματι αὐτοῦ λέοντας ὑποζευγνύειν φασίν. ἢ ὅτι καὶ συκῆς εὑρετής ἐστιν. ἢ ἀπὸ τοῦ θορεῖν· πηδητικὸς γάρ. λέγεται καὶ θυστήριος, ἀπὸ τοῦ θύειν, ὅ ἐστιν ὁρμᾶν· ἀφ' οὗ καὶ τὸ αἰωρούμενον, θύσανον. Θριαμβεύσας, δημοσιεύσας.

Θρίαι, αἱ μαντικαὶ ψῆφοι, οἱονεὶ τρίαι τινὲς οὖσαι· καὶ γὰρ αἱ τρεῖς νύμφαι αἱ θυγατέρες τοῦ Διὸς, εὑρηκυῖαι τρεῖς ψήφους μαντικὰς, παρέσχον τῇ Ἀθηνᾷ· ἥτις ἐγκαλουμένη ὡς ἀλλότριον πρᾶγμα μετιοῦσα, (τοῦτο γὰρ τοῦ Ἀπόλλωνός ἐστιν) ἔῤῥιψεν αὐτὰς εἰς τὸ λεγόμενον Θριάσιον πεδίον. παρὰ τὸ τρία, γέγονε θρία καὶ θριάσιον· ἐκεῖ γὰρ ἔῤῥιψεν ἡ Ἀθηνᾶ τὰς μαντικὰς ψήφους, αἵτινες θρίαι λέγονται· ὅθεν καὶ τὸ μαντεύεσθαι, θριᾶσθαι λέγεται. καὶ αὗται τρεῖς εἰσὶ τὸν ἀριθμόν. ἢ παρὰ τὸ τρισσαί· ἢ ἀπὸ Θρασίου τινὸς οὕτω καλουμένου.

Θρία, κυρίως τὰ τῆς συκῆς φύλλα· καὶ θριάζειν, τὸ φυλλολογεῖν· δηλοῖ δὲ καὶ τὸ ἐνθουσιάζειν. καὶ Θριάσιον ἐκλήθη πεδίον ἀπὸ τῶν βληθεισῶν εἰς αὐτὸ θριῶν ὑπ' Ἀθηνᾶς. θρίαι δέ εἰσιν αἱ μαντικαὶ ψῆφοι. νύμφαι δέ τινες εἰσὶ Θρίαι ὀνομαζόμεναι, αἱ πρωτομάντεις, αἳ ἐξεῦρον τὴν τοιαύτην μαντείαν. ἦσαν δὲ Ἀπόλλωνος τιθῆναι.

Θριγκῷ, τῷ τροχώματι· παρὰ τὸ θρέξαι· ὁ περιτρέχων κυκλόθεν οἷον στέφανος. θριγκὸς οὖν τὸ ἀνώτατον τῆς τοῦ τοίχου οἰκοδομήσεως, καὶ ὁ ὑπὸ τὸν κλινόποδα τοῦ τοίχου τόπος· καὶ ἡ στεφάνη, καὶ τὸ περιχαράκωμα. καὶ θριγκὸς τειχίου, στεφάνη, περίφραγμα· ὡς οἶμαι, παρὰ τὸ θρέξω.

456 Θρίδαξ θρίδακος, θριδακίνη, εἶδος μάζης καὶ λαχάνου. τινὲς ἀπὸ τῶν τριῶν φύλλων· τρίφυλλος γὰρ κατ' ἀρχὰς, ὡς καὶ θρίναξ. τινὲς δὲ, ὅτι τρίζει δακνομένη· ἢ ὅτι τῷ θέρει γίνεται, θεριδακίνη τὶς, τὸ μαϊούλιον.

Θρίναξ, σημαίνει τριαινοειδὲς ἐργαλεῖον ἐργατικόν. παρὰ τὸ τρία, τρίναξ καὶ θρίναξ.

Θρινακία, σημαίνει τὴν Σικελίαν· παρὰ τὸ ἐκ τριῶν συγκεῖσθαι ἄκρων, οἱονεὶ τρινακρία τὶς οὖσα. καὶ γὰρ τρία ἀκρωτήρια ἔχει ἡ Σικελία, λύβαιον, πάχυνον, πέλωρον.

Θρὶξ] ἀπὸ τοῦ θερίζω, θερίξω, Δωρικῶς· θρίξω· καὶ ἀποβολῇ τοῦ ω, θρίξ. κλίνεται τριχός, καὶ οὐχὶ θριχός· ἐπειδὴ τὸ ρ, μετὰ δασείας, δασύ ἐστι· καὶ ψιλὸν μετὰ ψιλῆς· οἷον, ἀφρός, Ἀτρεύς. οὐδέποτε δὲ εὑρίσκεται λέγεσθαι δισύλλαβον ἐν χρήσει ἀρχομένης ἀπὸ θ δασέως, καὶ τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ δασέος. τὸ γὰρ, — ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι — ὁ φθίθω ἐνεστὼς οὐχ εὕρηται ἐν χρήσει. τουτου χάριν ἡ θρὶξ εὐθεῖα ἔτρεψεν ἐν τῇ γενικῇ τὸ θ εἰς τ· ἐν δὲ τῇ δοτικῇ τῶν πληθυντικῶν ἐπαναλαμβάνει αὐτὸ διὰ τοῦ ξ, θριξί.

Θριπηδέστατον, ἀντὶ τοῦ βεβρωμένου καὶ διεφθαρμένου· ἀπὸ τοῦ θρὶψ θριπός, καὶ τοῦ ἔδω τὸ ἐσθίω. θρὶψ δέ ἐστι ζῶον κατεσθίον ξύλα καὶ κέρατα· καὶ θριπήδεστα, τὰ ὑπὸ τῶν θριπῶν διαβεβρωμένα ξύλα, οἷς ἀντὶ σφραγῖδος ἐχρῶντο.

Θρόνος· θρόνιον· ἔστι καὶ πόλις Λοκρίδος. ἐκ τοῦ θρόνος, θρόνιον. τοῦτο ἐκ τοῦ θορῶ τὸ πηδῶ, θόρονος· καὶ ἐν συγκοπῇ, θρόνος, ἡ ἐπηρμένη καθέδρα.

Θρύον, εἶδος πόας, ὁ λεγόμενος θρύσιος.

Θρυαλλίς, ἄνθος λυχνίδος, ἀκτίς. ἤγουν τὸ περικαιόμενον τοῦ ἐλλυχνίου. ἔστι δὲ καὶ βοτάνη πρὸς λύχνον ἁρμόζουσα. παρὰ τὸ θέρω καὶ τὸ ἅλλω τὸ πηδῶ, γίνεται θεραλλίς· καὶ τροπῇ τοῦ ε εἰς υ, καὶ ὑπερθέσει, θρυαλλίς.

Θρύλλος, ἡ βοὴ καὶ ὁ θόρυβος. παρὰ τὸ θροῦς, ὃ σημαίνει τὴν βοὴν, θρόος θροῦλλος καὶ θρύλλος.

Θρυλοῦντες] ἀπὸ τοῦ θροῦς καὶ τοῦ ἐλῶ τὸ ἐλαύνω, οἱονεὶ θροῦν ἐλόντες, τουτέστι θόρυβον ἐγείροντες· καὶ ἐπιθρυλοῦντες, ἐνοχλοῦντες, θορυβοῦντες. ἐκ τοῦ θρυλῶ· τοῦτο παρὰ τὸ θροῦς θροός. θροῶ περισπώμενον· πλεονασμῷ τοῦ λ, καὶ τροπῇ τοῦ ο εἰς υ, θρυλῶ.

Θρυλίζω, τὸ ψιθυρίζω. παρὰ τὸ θραύω, θραυλίζω· κατὰ παραγωγὴν καὶ ἀποβολὴν τοῦ α, θρυλίζω.

Θρυλλίχθη δὲ μέτωπον, Ἰλιάδος ψ', ἐθραύσθη, συνετρίβη, ἐκλάσθη. ἀπὸ τοῦ θραυλίχθη, κατὰ ἀποβολὴν τοῦ α. παθητικὸς ἀόριστος ἐστί.

Θρῴσκω, σημαίνει τὸ πηδῶ. ἀπὸ τοῦ θορῶ θορήσω, θορίσκω· καὶ θρῴσκω κατὰ τροπήν. ἔχει δὲ τὸ ι. ὥςπερ γὰρ ἀπὸ τοῦ εὑρῶ καὶ στερῶ γίνεται εὑρίσκω καὶ στερίσκω διὰ τοῦ ι, οὕτως ἀπὸ τοῦ θωρῶ θωρίσκω διὰ τοῦ ι· καὶ καθ' ὑπέρθεσιν, θρωΐσκω· καὶ κατὰ συναίρεσιν, θρῴσκω. τινὲς δὲ κατὰ κῦμα ἔλεγον αὐτό.

Θρωσμός, σημαίνει τὸν ὑψηλὸν τόπον, ὅθεν ἔστι θεωρεῖν καὶ πηδᾶν· ἀφ' οὗ καὶ θρόνος, ὁ ἐφ' ὑψηλοῦ ποιῶν ἡμᾶς. ἀπὸ τοῦ θορῶ θορίζω, θορισμός· κατ' ἐπαύξησιν καὶ ὑπέρθεσιν, θροϊσμός· καὶ συναιρέσει, 457
θρωσμός. ἔστι δὲ καὶ τόπος ὑψηλὸς ἐν τῷ πεδίῳ πρὸ τῆς Ἰλίου, ὃς ὀνομαστικῶς καλεῖται Θρωσμός, ὡς καὶ ἕτερος Καλλικολώνη, ᾧ στρατοπέδῳ ἐχρῶντο οἱ Τρῶες, εἴ ποτε τῆς πόλεως ἔξω τάσσοιντο.

Θύα, ἐφ' ἧς τὰ θύα, ὃ ἐστὶ τὰ θυμιάματα· καταχρηστικῶς δὲ καὶ αἱ λοιπαὶ θύαι.

Θύον, τὸ ἐπιθυόμενον εἰς κάθαρσιν, καὶ ἀβλαβεῖς ποιοῦν· ἔνθα τὸ, Πάσσε δ' ἁλὸς θείοιο: — καὶ, — θεείου καιομένου: — φησὶν ἐπὶ τοῦ κεραυνοῦ· διὰ τὸ τούτου ἀπόζειν τὸν οὐρανόν· πῦρ τὸ τοῦ κεραυνοῦ. θεῖα δὲ τὰ οὐράνια. ὁ δὲ Εὐδαίμων ἐν τῇ Ὀρθογραφίᾳ λέγει κτητικὸν εἶναι· τοῦ θεός θέειος ἐκβαλὼν τὸ δεύτερον ε, ἐποίησε τὸ θεῖος. καὶ ὁ πατράδελφος, θεῖος, οὕτως σεπτικὸς ὤν· ὅτι καὶ οἱ γονεῖς θεοὶ ἡμῖν εἰσι.

Θυόεις] ὡς παρὰ τὸ νείφω γίνεται νειφόεις, καὶ πνίγω πνιγόεις, οὕτω καὶ παρὰ τὸ θύω, θυόεις, καὶ θυόεν νέφος.

Θυάδες, αἱ βάκχαι· παρὰ τὸ θύω τὸ ὁρμῶ· καὶ πλεονασμῷ τοῦ ι, θυϊάδες. Θυάσιν ὠμοβόροις ἴκελοι.

Θυγατριδῆ, ἐγγόνη, τῆς θυγατρὸς θυγάτηρ.

Θυγάτηρ· παρὰ τὸ θύειν καὶ ὁρμᾶν κατὰ γαστρός· ἐκ τοῦ θύω καὶ τοῦ γαστήρ· λέγεται γὰρ τὰ θήλεα τάχιον κινεῖσθαι ἐν τῇ μήτρᾳ. τὴν θυγατέρα· καὶ συγκοπῇ, θύγατρα· αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τὸν τόνον· ἁρμόσαντες, ἄρσαντες· ὁμόπατροι, ὄπατροι.

Θύελλα] ὡς ἀπὸ τοῦ ἄω τὸ πνέω, ἄελλα, οὕτως ἀπὸ τοῦ θύω τὸ ὁρμῶ, θύελλα· ἔστι δὲ συστροφὴ ἀνέμου. σὺν θυέεσσι, σὺν τοῖς θυμιάμασι· τουτέστι μετὰ θυσιῶν. ἐκ τοῦ θύω τὸ θυμιῶ, παράγωγον θυόεις θυόεντος· ἡ δοτικὴ τῶν πληθυντικῶν, θυόεσι· καὶ τροπῇ, θυέεσι.

Θυηλαὶ] παρὰ τὸ θύω, θυηλή· κυρίως μὲν τοὺς θύλακας, εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται· καταχρηστικῶς δὲ

πᾶσι θυσία. θυηλαὶ οὖν, αἱ ἀπαρχαὶ τῶν θυσιῶν. ἤγουν αἱ θυσίαι. Φιλόχορος, Γῆς παῖδας εἶναι Θυηλὰς, ἃς πρώτας θυσαι θεοῖς.

Θυλάκιον] θυλάκιον δέ ἐστι δερμάτινον σακκίον, ἢ βαλλάντιον.

Θυηνός· θρίαινος γάρ φασι κατὰ διαίρεσιν· ὁ ἐπιθανάτιος αἶνος.

Θυοςκόος, ὁ μάντις· ὁ ἀπὸ τῶν θυομένων κοῶν, ὅ ἐστι νοῶν. θυοςκόοι εἰσὶν, οἱ ἀπὸ τῶν θυομένων διὰ πυρὸς μαντευόμενοι· ἱερεῖς δὲ, οἱ ἀπὸ τῶν ἱερῶν σπλάγχνων μαντευόμενοι.

Θυώδης, ὁ ἀπὸ τῶν θυομένων κοῶν καὶ νοῶν τὸ μέλλον· ἀπὸ τοῦ θύω τὸ θυμιῶ. λέγεται καὶ τὸ διὰ πυρὸς βάλλειν, θύον: ἐξ οὗ καὶ τεθυμένον τὸ διὰ πυρὸς βεβλημένον.

Θυωρίτης] Θυωρίτην τριπλαῖς: — τὸν τραπεζίτην, ἀργυρογνώμονα, κριτήν. θυωρός δὲ κυρίως, ἡ τράπεζα· παρὰ τὸ τὰ θύη δέχεσθαι τῶν θεῶν· ἢ παρὰ τὸ τὰ θύα ὠρεῖν, ὅ ἐστι φυλάσσειν. παρὰ Λυκόφρονι· νῦν δὲ μεταφορικῶς εἶπεν ἐπὶ τῆς ἄλλης, ὅτι ἔκρινον τὰς θεάς.

Θύω, τὸ σφάζω καὶ ἱερουργῶ· ὁ μέλλων, θύσω· ἐξ οὗ καὶ θυσία. θύω, τὸ ὁρμῶ· ἐξ οὗ καὶ θύρα, δι' ἧς ὁρμῶμεν· καὶ τέθυμαι, θυμός. τὸ θυ, μακρόν. τὸ θύω
458 καὶ λύω καὶ ῥύω, κατὰ μὲν τὸν ἐνεστῶτα ἔχουσι καὶ μακρὸν καὶ βραχὺ τὸ δίχρονον· κατὰ δὲ τὸν μέλλοντα, ἀεὶ μακρόν· ἐν δὲ τῷ παρακειμένῳ, συστέλλει αὐτὸ, τέθυκα καὶ λέλυκα· ὁμοίως καὶ ἐν τῷ παθητικῷ παρακειμένῳ· τὸ δὲ θῦμα καὶ λῦμα, ἐκτείνουσιν Ἀττικοί.

Θυμός, σημαίνει πέντε. ἀπὸ τοῦ θύειν καὶ ὁρμᾶν τὸ αἷμα ἀπ' αὐτοῦ, θύαιμός τις ὤν· κυρίως δὲ θυμός, μέρος τῆς ψυχῆς. τρία δὲ αὐτῆς μέρη· λογικὸν, — ἕτερος δέ με θυμὸς ἀνῆκεν: — θυμικὸν, Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων: — ἐπιθυμητικόν, Εἴξας ᾧ θυμῷ: — ποτὲ μὲν οὖν ὁ θυμὸς παρὰ τῷ ποιητῇ σύμπασαν τὴν ψυχὴν σημαίνει, ὡς ἐν τῷ, Ἔνθ' ὅγε τοὺς ἐνάριζε, φίλον δ' ἐξαίνυτο θυμόν: — ἐνίοτε δὲ τὰ μέρη αὐτῆς· τὸν μὲν ἐπιλογισμὸν, — ἕτερος δέ με θυμὸς ἀνῆκεν: — τὸ δὲ θυμικόν, ὡς τὸ, — σὺ δὲ μεγαλήτορα θυμὸν Ἴσχειν ἐνὶ στήθεσιν: — καὶ, Θυμὸς δὲ μέγας ἐστί: — ἐνταῦθα τὴν ὀργήν· καὶ τὴν ἐπιθυμίαν, ὡς τὸ, Εἴξας ᾧ θυμῷ, μίγη φιλότητι καὶ εὐνῇ: — σημαίνει καὶ τὴν ὁμόνοιαν, ὡς τὸ, — ἕνα θυμὸν ἔχοντες καὶ ἐπίφρονα βουλήν: — εἴδους τῶν ὑποπεπτωκότων τῷ ὀνόματι· εἰ μὲν σημαίνει τὴν ψυχὴν, γενικοῦ· εἰ δὲ σημαίνει τὴν ὀργὴν, εἰδικοῦ. διαφέρει γὰρ ὀργή, μῆνις, κότος, χόλος, θυμός. ζήτει εἰς τὰς Διαφοράς.

Θυμοβάρεια, ὡς ἀπὸ τοῦ θυμοβαρεύω.

Θυμαρής] — ἔχει δ' ἄλοχον θυμαρέα, Ἰλιάδος ί, τῇ ψυχῇ ἀρέσκουσαν, θυμήρη. παρὰ τὸ θυμὸς καὶ τὸ ἀρῶ, γίνεται θυμαρής. καὶ σκῆπτρον θυμαρές, ὀξυτόνως· οὐ γάρ ἐστι παρώνυμον παρὰ τὸ ηρης· τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης βαρύνεται, ξιφήρης, ὀνώδης.

Θυμέλη, ἡ τοῦ θεάτρου μέχρι νῦν, ἀπὸ τῆς τραπέζης ὠνόμασται· παρὰ τὸ ἐπ' αὐτῆς τὰ θύη μερίζεσθαι, τουτέστι τὰ θυόμενα ἱερεῖα. τράπεζα δὲ ἦν, ἐφ' ἧς ἑστῶτες ἐν τοῖς ἀγροῖς ᾖδον, μήπου τάξιν λαβούσης τραγῳδίας.

Θυμίαμα· παρὰ τὸ θύω, θυμιῶ· ἢ παρὰ τὸ θύον, ὅπερ ἐστὶν εἶδος πόας μυρεψικῆς. θυμίαμα δὲ, θυμοῦ ἴαμα. ἢ ἀπὸ τοῦ Τυφωέως καπνοῦ· ἀφ' οὗ καὶ θῦμα, παρὰ τὸ θύω. ἢ ὅτι διὰ τῶν θυμάτων καιομένων ἐθυμίαζον οἱ παλαιοί.

Θύμμενον, δηλοῖ τὸ ὑπὸ πυρὸς βεβλημένον ἢ κεκακωμένον. καὶ παρὰ γεωργοῖς αἱ ὑποκεκαυμέναι ὑπὸ πάχνης ἄμπελοι ἐντεθυμμέναι καλοῦνται. καὶ τὸ κακῶσαι τῷ καπνῷ τοῦ πυρὸς τὰς μελίσσας θύσαι λέγουσι μελιττουργοί.

Θύμβρα, τόπος τῆς Ἰλίου, κληθεὶς κατὰ μέν τινας, ἀπὸ ἑνὸς τῶν Δαρδάνων μετοικησάντων· καθ' ἑτέρους δὲ, ἀπὸ Θύμβρης. Ἰλιάδος κ', πρὸς Θύμβρης δ' ἔλαχον Μῄονες ἀγέρωχοι — ἀντὶ τοῦ πρὸς τὸ Θυμβραῖον πεδίον κλήρῳ ἔλαχον Λυδοί, αὐθάδεις καὶ θρασεῖς. ὁτὲ δὲ δηλοῖ καὶ τοὺς ἄγαν ἀνδρείους. ἔνθα καὶ Θυμβραίου Ἀπόλλωνος ἱερὸν ἐπιφανές.

Θύκος, κυρίως εἰς ὃν ἐμβάλλομεν τὰ θυμιάματα.

Θύσκη, σκάφη ἡ τὰ θύματα δεχομένη· ἀπὸ τοῦ θύω.

Θύρα· παρὰ τὸ θύω τὸ ὁρμῶ. ἢ παρὰ τὸ θέω καὶ τὸ ἀήρ, θέαρα καὶ θύρα. καὶ θυρωρος, ὁ τῶν πυλῶν φύλαξ.

Θύραζε, κυρίως μὲν εἰς τὸ ἔξω τῆς θύρας· ὁτὲ δὲ καὶ τὸ ἁπλῶς ἔξω.

Θυρεός, τὸ ὅπλον. γίνεται παρὰ τὴν θύραν θυρός· καὶ 459
πλεονασμῷ τοῦ ε, θυρεός, ὁ θύρας τάξιν ἔχων.

Θυρεπανοίκτης] σύνθεσιν ἐπὶ συνθέσει ἀνεδέξατο. ἦν γὰρ ἀνοίκτης· προσῆλθεν ἡ ἐπὶ, καὶ ἐγένετο ἐπανοίκτης· καὶ οὕτω τὸ θυρα προσετέθη, καὶ ἐγένετο θυρεπανοίκτης. ὁμοίως καὶ τὸ δυοκαιεικοσίπηχυς· πρῶτον τὸ εἰκοσίπηχυς· καὶ οὕτω συνετέθη. καὶ τὸ Σφραγιδονυχαργοκομήτης, σύνθεσιν ἐπὶ συνθέσει ἀνεδέξατο. ὥςπερ γὰρ τόνος οὐ τίθεται περαιτέρω τῶν τριῶν συλλαβῶν, οὔτε ποὺς μετρικὸς ὑπερβαίνει τὰς τρεῖς συλλαβὰς, οὕτω οὔτε λέξις σύνθετος θέλει εἶναι περαιτέρω τῶν τριῶν λέξεων.

Θυρηβόλιον, ἡ ἔπαυλις, θυρβόλιόν τι ὄν.

Θῦνον κρίνοντες, Ἰλιάδος β', ὥρμων διαχωρίζοντες τὸν λαόν. ὁ παρατατικός ἐστιν, ἔθυνον. ἀπὸ τοῦ θύω πλεονασμῷ τοῦ ν γίνεται θύνω τὸ ὁρμῶ· καὶ ὄνομα ῥηματικὸν, θῦνος· καὶ πλεονασμῷ ἑτέρου ν, θῦννος· ὅπερ ἐν τῇ κοινῇ συνηθείᾳ καλεῖται θύννα. κλίνεται δὲ ἡ θύννος, ὡς ἡ παρθένος· καὶ αἱ θύννοι, ὡς αἱ μυροφόροι.

Θυννίδες, οἱ νῦν θύννοι, ἢ ἄλλοι τινὲς ἰχθύες.

Θυσσανόεσσα, κροσσοὺς ἔχουσα. ἀπὸ τοῦ θύω τὸ ὁρμῶ καὶ κινῶ, γίνεται θύσανος θυσανόεις· καὶ τὸ θηλυκὸν, θυσσανόεσσα.

Θύσθλα, θυρσοὶ ἢ κλάδοι, οὓς βάκχαι κατέχουσιν. ἢ τὰ φύλλα τῆς ἀμπέλου· ἢ τὰ ἐπὶ την θυσίαν φερόμενα. παρὰ τὸ θύω τὸ ὁρμῶ: ὁ μέλλων, θύσω· γίνεται θύσθλον. Ἰλιάδος ζ', Θύσθλα χαμαὶ κατέχευαν: — οἱ μὲν, τοὺς κλάδους· οἱ δὲ, τοὺς θύρσους, τουτέστι τὰς βακχικὰς δράκας· ἅ ἐστι διονυσιακὰ μυστήρια· ἔνιοι δὲ πάντα κοινῶς τὰ πρὸς τὴν τελετην.

Θυσιαστήριον, τὸ τὴν θυσίαν τηροῦν.

Θυραυλεῖν, τὸ παρὰ ταῖς θύραις τινὸς αὐλίζεσθαι καὶ προσεδρεύειν καὶ περιμένειν.

Θύρσος, ὁ κλάδος ὁ παρὰ Διονύσῳ· παρὰ τὸ συνεχῶς ταῖς μαινάσι κινούμενος· οἱονεὶ θύειν (ὅ ἐστιν ὁρμᾶν) ὀρθός, οὐκ ἐγκεκλιμένος.

Θύρσος, ὄνομα κύριον· θυρσος τὸ στέμμα τῶν γάμων.

Θωή, ἡ ζημία, ἣν κατατίθεται ὁ ζημιούμενος. γίνεται ἐκ τοῦ θῶ τὸ καταβάλλω καὶ ζημιῶ.

Θῶες] ἀπὸ τοῦ θέω τὸ τρέχω, γίνεται θώς. ἢ ἀπὸ τοῦ θοός· ταχεῖς γάρ εἰσι, καίπερ βραχυσκελεῖς ὄντες. ἔστι δὲ ὁ θώς ζῶον ἄλκιμον καὶ εὐκίνητον.

Θωπεία, ἡ κολακία· ἐκ τοῦ θωπεύω· καὶ θῶπες, οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ προσιόντες ἐπὶ κολακείᾳ.

παρὰ τὸ θώψ, ὅπερ ἐστὶ θηρίον ἀπατηλόν. τοῦτο παρὰ τὸ θῶ, ὃ σημαίνει τὸ εὐωχοῦμαι.

Θῶμαι, καὶ ἐπίθωμαι. πᾶν ὑπερτρισύλλαβον εἰς μαι λῆγον ἐπὶ τοῦ δευτέρου μέσου ἀορίστου, ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον· δῶμαι, ἀπόδωμαι· σχῶμαι, ἀπόσχωμαι.

Θωμοί, οἱ τῶν σπερμάτων σωροί. ἐκ τοῦ τίθημι, θήσω.

Θωμός, ὁ σωρός. Θώμιξ, λεπτὸν σχοινίον.

Θωμίζειν, τὸ τῷ κέντρῳ ἐρεθίζειν καὶ μαστίζειν.

Θῶν, ὄνομα κύριον· καὶ κλίνεται θῶντος, ὡς πρὸς τὸν χαρακτῆρα τῶν εἰς ων περισπωμένων, ὡς Ξενοφῶν, ξενοφῶντος.

460 Θῶνος παράκοιτις: — λέγει ὁ τεχνικὸς, ὅτι ἀπὸ τῆς Θῶνις θώνιδος. γίνεται θώνιος, ὡς Πάρις πάριδος, πάριος· καὶ συγκοπῇ, Θῶνος. ἢ ἀπὸ τοῦ Θόων θόωνος· καὶ κράσει τοῦ ο καὶ ω εἰς ω μέγα, Θῶνος. κρεῖττον λέγειν ἀπὸ τῆς Θώνιος γενικῆς κατὰ συγκοπήν. ζήτει περὶ τούτου διεξοδικώτερον. Χοιροβοσκὸς περὶ τόνου τῆς εὐθείας τῶν δυϊκῶν.

Θῶκος, ἡ καθέδρα· παρὰ τὸ θῶ τὸ ἑδραιῶ· ἢ γίνεται κατὰ ἀντίφρασιν ἀπὸ τοῦ θέω· ἢ ἀπὸ τοῦ θοῶ· ἐξ οὗ παράγωγον, θοάζω· ἔνθα Σοφοκλῆς Οἰδίποδι, Τίνας ποθ᾽ ἕδρας τάςδέ μοι θοάζετε; ἀντὶ τοῦ προςκαθέζεσθε. θῶ οὖν· ὁ μέλλων, θώσω· γίνεται θῶκος, ἡ τοῦ θεῖν ἡμᾶς ἐπέχουσα καθέδρα.

Θώραξ] παρὰ τὸ θῶ τὸ ἀπολαύω· οὗ ὁ μέλλων, θώσω· θῶρος καὶ θώραξ· οἱονεὶ τὸ ἀπολαυστικὸν μέρος τοῦ σώματος, τὸ ἀπὸ τοῦ τραχήλου μέχρι τῶν αἰδοίων καθῆκον κύτος· ὃ καὶ ὅλμος καλεῖται. λέγεται δὲ θώραξ τὸ ὅπλον, ὁ σιδηροῦς χιτών· ὅπερ ἐστὶ λουρίκιον· ἀφ᾽ οὗ θωρηχθῆναι, τὸ καθοπλισθῆναι. λέγεται καὶ τὸ παχὺ ἱμάτιον, καὶ ὁ πύργος, καὶ τὸ σῶμα, καὶ τὸ στῆθος, τὸ μέρος τοῦ σώματος. γίνεται παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, οὖρος καὶ ὦρος· ὅθεν καὶ θυρωρὸς καὶ πυλωρός. ἐκ τοῦ ὦρος, παρώνυμον, ὥραξ· καὶ πλεονασμῷ τοῦ θ, θώραξ, ὁ φύλαξ τοῦ θερμοῦ καὶ τοῦ θυμικοῦ. ἢ παρὰ τὸ θορῶ τὸ πηδῶ, θώραξ, τροπῇ τοῦ ο εἰς ω, ὁ φύλαξ τῆς θορούσης (ὅ ἐστι τῆς πηδώσης) καρδίας· ἀπὸ γὰρ ταύτης καὶ τὰ λοιπὰ μέρη κινοῦνται· ἢ τοῦ θείου καὶ ἡγεμονικοῦ τῆς ψυχῆς, ἢ τοῦ θυμικοῦ· οἷον θοάραξ. ἢ παρὰ τὸ πᾶν πρᾶγμα κινεῖσθαι διὰ τοῦ περιχεομένου τοῦ ἡγεμονικοῦ ἐν αὐτῷ, οἷον θεώραξ. ἢ παρὰ τὸ θῶ τὸ εὐωχοῦμαι ἤτοι ἐν εὐωχίᾳ εἰμί· ἀφ᾽ οὗ Δωριεῖς θωρεῖσθαι λέγουσι τὸ εὐωχεῖσθαι· τούτου ὁ μέλλων, θώσω· ῥηματικὸν ὄνομα, θῶρος· ἀφ᾽ οὗ θώραξ, ὡς λίθος, λίθαξ. θῶρος οὖν ἡ τροφὴ καὶ ἡ μέθη· καὶ θώραξ, ὁ δεκτικὸς τῆς τροφῆς τόπος· ἀφ᾽ οὗ καὶ τὸ ἐμπίπλασθαι οἴνου, θωράσσεσθαι λέγεται, ὡς παρὰ Ἀριστοφάνει, — πρὸς τοὺς συμπότας θωράξομαι: — εὐωχηθήσομαι, ἢ μεθυσθήσομαι. καὶ Πίνδαρος διθυράμβων πρώτῳ, Ἀλόχῳ ποτὲ θωρηχθεὶς ἐπ᾽ ἀλλοτρίᾳ: — παρὰ δὲ τὸ θῶ εἴρηται καὶ ἔνθεσις ἡ τροφή· καὶ ἔνθου τὸ ῥόφησον, παρὰ Ἀριστοφάνει· καὶ θωρήσσω καὶ θώρηξις. λέγεται καὶ ἐπὶ τῆς καθοπλίσεως, καὶ ἐπὶ τῆς τοῦ οἴνου ἀκρατοποσίας. ἐπὶ δὲ τοῦ ὅπλου, θώραξ, ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον ἔξωθεν παρίστησι μετωνυμικῷ τρόπῳ, ὡς Ὅμηρος, Τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων: — ἀπὸ τῶν περιεχομένων τὰ περιέχοντα, ἀπό τε τῆς ἀσπίδος καὶ τῆς περικεφαλαίας. ὁ τρόπος, μετωνυμία. τὸ θωρήσσω, ἀπὸ τοῦ θοῦρος, ὁ εἰς τὸν πόλεμον ὁρμητικός· ἀπὸ τοῦ θέειν ῥᾷον. Δοῦρις ὁ Σάμιος ἐν τῷ περὶ νόμων φησὶν, ὅτι Διόνυσος ἐπιστρατεύσας Ἰνδοῖς, καὶ μὴ δυνάμενος αὐτοὺς χειρώσασθαι, κρατῆρα οἴνου πληρώσας, πρὸ τῆς χώρας αὐτῶν ἔθηκεν· οἱ δὲ, ἐμφορηθέντες τοῦ πόματος ἀσυνήθεις ὄντες, οὕτως ἐχειρώθησαν μεθυσθέντες. ὅθεν οἱ ποιηταὶ τὸ μεθύειν θωρήσσεσθαι λέγουσιν. τὰ εἰς αξ ὀνόματα, φύσει μακρᾷ παραληγόμενα, εἰ μὲν ὦσιν ἀρσενικοῦ γένους, ἐκτείνουσι τὸ α· οἷον, θώραξ, οἴαξ· εἰ δὲ θηλυκοῦ, συστέλλουσιν αὐτὸ, οἷον, αὖλαξ, πίδαξ.

Θῶσθαι] θῶσθαι λέγουσιν οἱ Δωριεῖς τὸ εὐωχεῖσθαι· 461 ἀπὸ τοῦ θῶ τὸ εὐωχοῦμαι.

Θωΰσσειν, τὸ θηριώδει φωνῇ χρῆσθαι· ἢ ἀπὸ τοῦ θῶες· ἢ θρηνώδη.

Θῶ, σημαίνει τὸ κατασκευάζω καὶ ποιῶ, ἐξ οὗ θεός· θῶ τὸ τρέφω, ἐξ οὗ καὶ θοίνη ἡ εὐωχία· θῶ τὸ θηλάζω, ἐξ οὗ καὶ θηλὴ ὁ μασθός· καὶ θῆλυς, ἡ ἔχουσα μασθοὺς καὶ θηλάζουσα· θῶ τὸ ἑδραιῶ, ἐξ οὗ καὶ θῶκος ὁ θρόνος· θῶ τὸ τίθημι, ἐξ οὗ καὶ θίς, ὁ σωρὸς τῶν χρημάτων· θῶ τὸ ἀπολαύω, ἐξ οὗ καὶ θώραξ. ἔστι δὲ καὶ ἄλλα δύο διὰ τοῦ ο καὶ ω· θῶ τὸ καταβάλλω καὶ ζημιῶ, ἐξ οὗ καὶ θωή· τὸ δὲ διὰ τοῦ ο μικροῦ σημαίνει τὴν ταχύτητα. γίνεται δὲ παρὰ τὸ θέω τὸ τρέχω. σημαίνει δὲ καὶ τὸ τρέχω, καὶ τὸ βλέπω· οἷον, Ἔργα θέον. Ἰστέον ὅτι τὰ εἰς ος ὀκταχῶς συντίθενται· ἢ γὰρ φυλάσσει τὸ ς, ὡς τὸ λαός σόος, λαοσσόος· καὶ θεὸς δοτός, θεόςδοτος· ἢ ἀποβάλλει τὸ ς, ὡς τὸ νίκος λαός, Νικόλαος· ἢ ἀποβάλλει τὸ ς καὶ προςλαμβάνει τὸ ι, ὡς τὸ Πύλος πυλογενής, καὶ πυλοιγενής· καὶ ὁδός, ὁδοπόρος καὶ ὁδοιπόρος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς η, ὡς τὸ ἔλαφος, ἐλαφοβόλος καὶ ἐλαφηβόλος· καὶ θεός τόκος, θεοτόκος, καὶ θεητόκος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς ε, ὡς τὸ μένος Μενόλαος καὶ Μενέλαος· καὶ Μενοπτόλεμος, Μενεπτόλεμος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς ι, ὡς τὸ ὄρος, Ὀροβάσιος καὶ Ὀριβάσιος. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς ε καὶ προςλαμβάνει τὸ ἰῶτα, ὡς τὸ ὄρος ὀροφοίτης καὶ ὀρεφοίτης, καὶ ὀρειφοίτης· καὶ Ἄργος ἀργεφόντης, καὶ ἀργειφόντης. ἢ ἀποβάλλει τὸ ς καὶ τρέπει τὸ ο εἰς α καὶ προςλαμβάνει τὸ ἰῶτα, ὡς τὸ κλυτός Κλυτομνήστρα καὶ Κλυταιμνήστρα.

Θυσία] τὰ διὰ τοῦ ια θηλυκὰ παρὰ μέλλοντα παρηγμένα βαρύνεται, ὁσία, ἐξουσία, προδοσία· τὸ μέντοι πρασιά, αἱμασιά, ὡς περιεκτικοῦ ἔχοντα ἔννοιαν, ὀξύνεται. τὰ διὰ τοῦ ια θηλυκὰ μονογενῆ πρὸ μιᾶς ἔχοντα τὸν τόνον ὑπερδισύλλαβα μὴ ὄντα ἀπὸ τῶν εἰς ευς ἢ ευω ἢ υς, μήτε ἀπὸ τῶν εἰς ος προπερισπωμένων, μήτε σύνθετα ἀφ᾽ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, μήτε λεγόμενα εἰς ον οὐδέτερα, μήτε προπαροξύτονα κατὰ κρᾶσιν γινόμενα, μήτε κατὰ διάστασιν εὑρισκόμενα, μήτε Ἀττικὰ ἐκτείνοντα τὸ ἄλφα καὶ παροξυνόμενα, διὰ τοῦ ι γράφεται, ἀνία, ξενία, πενία, γωνία, ἠρεμία, ὀφθαλμία, αἰθρία, καρδία. πρόςκειται, μονογενῆ, διὰ τὸ πολυδεύκεια χείρ, καὶ ἀγαμεμνόνεια· ὁ ἀγαμεμνόνειος γὰρ, καὶ τὸ ἀγαμεμνόνειον. πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ εὐσέβεια. ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ μνεία, χρεία, θεία. μὴ ἀπὸ τῶν εἰς ευς, ευω, καὶ υς, διὰ τὸ δουλεύω, δουλεία· ταχύς, ταχεῖα. μὴ σύνθετα ἀφ᾽ ἁπλοῦ· ἐπειδὴ ἀπὸ τοῦ δεία τοῦ σημαίνοντος τὴν ἔνδειαν γέγονε σιτοδεία. μὴ λεγόμενα εἰς ον, διὰ τὸ ἐλεγεῖον, ἐλεγεία. μὴ προπαροξυνόμενα κατὰ κρᾶσιν γινόμενα, διὰ τὸ ὑγιής, ὑγίεια καὶ ὑγία. μὴ κατὰ διάστασιν, διὰ τὸ ἀνδρεία, τὸ ἐπὶ τῆς ἀρετῆς· τοῦτο δὲ Ἀπολλώνιος διὰ τοῦ ι γράφει· ὁ δὲ Ὦρος, διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ κατὰ

διάστασιν ἀνδρεία. οὕτω καὶ ἡ παράδοσις. πρόσκειται, ἐπὶ τῆς ἀρετῆς· ἐπειδὴ ἐπὶ γυναικὸς παρὰ Φιλοξένῳ οὐ
462 λέγεται ἀνδρεία γυνὴ, ἀλλὰ μᾶλλον ἀνδρικὴ γυνή. πρόσκειται, μὴ ἀπὸ τῶν εἰς ος προπερισπωμένων, διὰ τὸ Ἀργεῖος ἀργεία, ἀνδρεῖος ἀνδρεία· μὴ Ἀττικά· ἐπειδὴ τὸ ἱέρεια καὶ εὔκλεια Ἀττικῶς καταβιβάζουσι τὸν τόνον, καὶ τὸ α ἐκτείνουσι. τοιοῦτον καὶ τὸ θύεια, ὃ σημαίνει τὴν ἴγδην. Ἀττικοὶ ἐκτείνουσι τὸ α, καὶ καταβιβάζουσι τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι. τὸ δὲ νωθεία ἡ ἀργεία, ἀπὸ τοῦ νωθρός ἐστι νωθρεύω, νωθρεία, κατὰ ἀποβολὴν τοῦ ρ. τὰ εἰς ος ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μὲν ὦσιν ἁπλᾶ, τῷ ῥήματι ἀκολουθεῖ τὰ θηλυκά· οἷον πόρος πορεύω, πορεία δίφθογγον· εἰ δὲ ὦσι σύνθετα, διὰ τοῦ ι γράφεται τὰ θηλυκά. οἷον φιλάνθρωπος, φιλανθρωπεύω, φιλανθρωπία, ὑπερηφανία, καὶ παρθενία. τὰ παρὰ τὸ ἦθος διφορεῖται, ἀήθεια καὶ ἀηθία· (πολιτικώτερον δὲ διὰ τοῦ ι) καὶ τὰ παρὰ τὸ κέρδος, φιλοκέρδεια καὶ φιλοκερδία, αἰσχροκέρδεια καὶ αἰσχροκερδία· καὶ τὰ παρὰ τὸ παθεῖν καὶ μαθεῖν, εὐπάθεια καὶ εὐπαθία, εὐμάθεια καὶ εὐμαθία, προμήθεια καὶ προμηθία· εὐέπεια καὶ εὐεπία. ὠφέλεια καὶ ὠφελία, εὐμάρεια καὶ εὐμαρία· οἰκωφελία καὶ κοινωφελία μόνως, καὶ ἀμαθία· καὶ τὸ ι, πολιτικόν. τὰ παρὰ τὸ φυὴ, διὰ τοῦ ι, εὐφυΐα. εὕρηται καὶ εὐφύεια παρὰ Ἀλεξίδι. τὰ παρὰ τὸ τύχη, διὰ τοῦ ι, εὐτυχία. εὕρηται καὶ εὐτύχεια παρὰ Σοφοκλεῖ. τὰ παρὰ τὸ ἔτος διὰ τοῦ ι γράφεται· τὰ δὲ παρὰ τὸ ἄλλο, διὰ διφθόγγου.

# I.

462 Ἰῶτα τὸ στοιχεῖον, παρὰ τὸν ἰὸν τῶν ἰοβόλων ζώων· ὥσπερ γὰρ ὁ ἰὸς εἰς ὀρθὸν βαδίζει ᾧ καὶ πέπρωται, οὕτω καὶ ἡ τούτου γραφὴ ὀρθὴ οὖσα, ἰῶτα καλεῖν ἠνίξατο. ἢ ἀπὸ τῶν ἰῶν τῶν βελῶν. Ἰστέον ὅτι τὸ ἰῶτα καὶ Ἰάσων τινὲς ἐν συλλήψει λέγουσιν εἶναι. ἔστι δὲ ἀνατρέψαι αὐτούς· ἐπειδὴ τὰ ὑποταττόμενα τινὶ ἐν συλλήψει, ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει ἀντιπροηγοῦνται· οἷον, πρῶτος, ἕρπω· κλέος, ἕλκω. εἰ ἄρα οὖν τὸ ἰῶτα ὑποτέτακται τοῦ α καὶ τοῦ ω κατὰ σύλληψιν, οἷον τῷ κοχλίᾳ, τῷ καλῷ, δηλονότι ἀντιπροηγησάμενον αὐτῷ ἐν τῷ ἰῶτα καὶ Ἰάσων κατὰ διάστασιν ἀντιπροηγήσατο. ζήτει περιστιζόμενον τὸ ι καὶ υ εἰς τὸ αὐλός. τὸ δὲ ἰῶτα, παράγωγον ἐστίν, ι· μονόγραμμα γὰρ ἐστίν· ἀλλὰ κατὰ παραγωγὴν γίνεται ἰῶτα.

Ἰακώβ, ἄκλιτόν ἐστι· καὶ διαφέρει μονοπτώτου. τὸ μὲν γὰρ ἄκλιτον, ἐπ' εὐθείας καὶ γενικῆς καὶ δοτικῆς· καὶ αἰτιατικῆς καὶ κλητικῆς, μετὰ διαφόρων ἄρθρων λέγεται· οἷον, ὁ Ἀβραάμ, τοῦ Ἀβραάμ, τῷ Ἀβραάμ, τὸν Ἀβραάμ, ὦ Ἀβραάμ· τὸ δὲ μονόπτωτον, ἐπ' εὐθείας μόνης· οἷον τὸ ὄφελος, τὸ οὖς.

Ἴακχος, αὐτὸς ὁ Διόνυσος, ἡ ἑορτή. παρὰ τὴν ἰαχὴν τὴν ἐν ταῖς χορείαις γινομένην, τουτέστι τὴν βοὴν, γίνεται ἴαχος· καὶ πλεονασμῷ τοῦ κ, ἴακχος. ἢ ἀπὸ τῆς ἐν τοῖς πότοις ἰαχῆς.

Ἰάλεμος, σημαίνει τὸν θρῆνον. ἔστι γὰρ εἶδος θρήνου. ὅτε μὲν ἐπὶ τοῦ Ἀπόλλωνος λέγεται, δασύνεται, [ἀπὸ τῆς] ἱήσεως (ὅ ἐστιν ἀφέσεως) τῶν βελῶν· ἐπὶ δὲ τοῦ θρήνου, ψιλοῦται. γεγόνασι δὲ ἀμφότερα οὕτως. ἔστιν ἵημι τὸ πέμπω. ἐκ τούτου γίνεται ἴηος· εἶτα ἰήεμος
463 διὰ τοῦ ε κατὰ τὴν παραλήγουσαν· τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ λ. ἰάλεμος, ἐπὶ τοῦ θρήνου. ἢ ἐκ τοῦ ἴηος, κατὰ τροπὴν τοῦ η εἰς ε, γίνεται ἴεμος· καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἰάλεμος· καὶ ἰαλεμῆσαι, τὸ θρηνῆσαι, ὡς παρὰ Καλλιμάχῳ, Εἰδυῖα φάλιον ταῦρον ἰηλεμίσαι — οὕτω Φιλόξενος περὶ μονοσυλλάβων, ὥς φησιν Ὠρίων. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος ἐπὶ τοῦ θρήνου ἐτυμολογούμενον παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἰωὴν φέρειν.

Ἴαλλοι, τα σκώμματα, οἷον τίλλοι τινὲς ὄντες, ὡς παρὰ Ἀνακρέοντι τίλλειν ἀντὶ τοῦ σκώπτειν.

Ἰάλλω] παρὰ τὸ ἰῶ παράγωγον ἰάλλω τὸ πέμπω, οἷον ἱέναι ποιῶ· καὶ — χεῖρας ἴαλλον, ἀντὶ τοῦ ἐξέτεινον. εἰς τὸ προΐηλεν.

Ἰάλεμος, υἱὸς Καλλιόπης, ὁ κακοδαίμων καὶ οὐδενὸς ἄξιος· ὅθεν καὶ Ἰαλέμου ᾠδὴ, ψυχρὰ καὶ οὐδενὸς ἀξία· καὶ παροιμία, Ψυχρότερος Ἰαλέμου· καὶ, Οἰκτρότερος Ἰαλέμου· καὶ τὸ θρηνεῖν, ἰαλεμίζειν λέγεται. ἰηός, ἐπὶ τοῦ θρήνου ψιλοῦται· καὶ Σοφοκλῆς, Ἰήων καμάτων, τῶν θρηνητικῶν. παρὰ δὴ τὸ ἰηός, γίνεται ὄνομα εἰς μος τῷ ε παραλήγον, ἰήεμος, ὡς τῆλε, τήλεμος· τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ λ, γίνεται ἰάλεμος, ὁ θρῆνος.

Ἰάμβη] τινὲς ὅτι Ἰάμβη Ἠχοῦς καὶ Πανὸς θυγάτηρ· τὴν Δήμητραν δὲ λυπουμένην παίζουσα καὶ ἀχρηστολογοῦσα, καὶ σχήματα ἄχρηστα ποιοῦσα, ἐποίησε γελάσαι· καὶ ἰαμβεῖον εἴρηται, ἀπὸ τοῦ ἰαμβίζειν τὸ ὑβρίζειν, ἀπὸ τοῦ ἰὸν βάζειν, ἢ ὡς βέλη βάλλειν τὰ λεγόμενα· ἢ ἀπὸ τῆς εὑρούσης γυναικὸς βάκχης τινὸς, Ἰάμβης καλουμένης· ἢ ἀπὸ τοῦ ἴαν βάζειν. ἡ γὰρ κοινὴ τῶν ἀνθρώπων φωνὴ ἴα καλεῖται.

Ἰαμενός, ὄνομα κύριον. Ἀρίσταρχος ψιλοῖ· ὁ δὲ Ἀσκαλωνίτης φησίν· ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλοῦται· ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασύνεται. ἄμεινον Ἀρίσταρχος.

Ἰαίνετο] Αἶψα δ' ἰαίνετο κῆρ: — ἀντὶ τοῦ διεχεῖτο. καὶ ἐπὶ τῆς ψυχικῆς διαχύσεως· καὶ ἰάνθη, τὸ διεχύθη, εὐφράνθη, ἐχάρη. ἀπὸ τοῦ ἰαίνω, ἰανῶ, ἴαμαι, ἰάνθην· — καὶ ἰδοῦσα θυμὸν ἰάνθη: — τάχα δὲ καὶ τὰ ἄνθη, ἐπεὶ τὴν ψυχὴν ἰαίνει καὶ διαχεῖ τέρποντα τὴν ὄψιν. σημαίνει καὶ τὸ ἐθερμαίνετο, ὡς τὸ, — ἰαίνετο δ' ὕδωρ.

Ἰαμβοφάγος, λοίδορος· ἐπειδὴ ἴαμβος ἔμμετρός ἐστι λοιδορία. ὁ φαγὼν οὖν ἐν τῷ στόματι, ὁ ἔχων τοὺς ἰάμβους, τουτέστιν ὁ ἔχων διὰ στόματος τὴν φιλολοιδορίαν. μέμνηται Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, τάχα καὶ παραπαίζων εἰς τὸ Αἰσχίνην, ὅτι τὰ ἰαμβεῖα τῆς τραγῳδίας ἔλεγεν, ὑποκριτὴς ὤν. καὶ ἰαμβίζειν, τὸ λοιδορεῖν καὶ κακολογεῖν· ἀπὸ Ἰάμβης τῆς λοιδόρου.

Ἰαπετός] παρὰ τὸ ἴπτω τὸ βλάπτω, ἰπετός· καὶ πλεονασμῷ τοῦ α, Ἰαπετός. τὸ δὲ ἴπτω, παρὰ τὸ ἰός, ὃ σημαίνει τὸ βέλος· ἢ παρὰ τὸ ἵημι τὸ πέμπω, γίνεται ἰάπτω· ἢ τὸ ἰάπτω κατὰ πλεονασμὸν τοῦ α, ἀπὸ τοῦ ἴπτω. πᾶν ῥῆμα εἰς πτω λῆγον βαρύνεται· εἰ μὴ προκατάρχοι ὄνομα. ἢ διαστολὴ γένοιτο σημαινομένου, σκάπτω, θάπτω· (τὸ γὰρ ῥιπτῶ, Ἀττικὸν ἢ ποιητικόν) νίπτω, τύπτω· τὸ δὲ τυπτήσω, ὡς ἀπὸ περισπωμένου. πρόσκειται, εἰ μὴ προκατάρχοι ὄνομα· διὰ τὸ ἄβλεπτος,
ἀβλεπτῶ· ἄπεπτος, ἀπεπτῶ· ἀλείπτης, φιλαλειπτῶ. 464
ἢ διαστολὴ γένοιτο σημαινομένου· διὰ τὸ ὀπτῶ, πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω.